This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

KC
15706
NEDL TRANSFER
HN 5W4A 5

KC15.706
Ga 78.12



The Gift of
Francis Vergnies L.L.D.
of
Newburyport.
July 31. 1821.

APOLLODORI
ATHENIENSIS
BIBLIOTHECAE
LIBRI TRES

AD

CODD. MSS. FIDEM RECENSITI

A

CHR. G. HEYNE

GOETTINGAE.

Apud IOH. CHRIST. DIETERICH.

1782.

KC 15706
Ga 78.17

HARVARD
UNIVERSITY
LIBRARY

Cum ante hoc biennium, vt lectiones mythologicas haberem, variae rationes ſuaderent, deeſſet autem omnino libellus, quo duce commode vti poſſem: cogitatio incidit in Apollodorum, principem inter Grammaticos, qui quidem ad nos pervenere, huius doctrinae auctores. Cuius exempla cum eſſent paratu difficilia, Gaſeanum autem, quod pro optimo haberi ſolet, ſphalmatibus typographicis adeo foedatum, vt in ſingulis interdum verſibus haereas: non inutilem operam me nauaturum eſſe putaui, ſi libellum prelis Dietrichii noſtri iterum vt excuderetur ſubmiſterem. Nec ab initio aliud conſtitutum erat, quam vt libellum, qualis nunc habetur, emendate expreſſum redderem, haberemque adeo plagulas a prelo madidas, quibus ad lectiones publice indictas vterer; aliis autem, exemplari parabili et curate ex-

preſſo, expeditam redderem operam, vt Apollodoro emendando et illuſtrando manum admouere poſſent. Mox tamen cum libelli vtilitatem maiorem, quam animo praeceperam, vſu deprehenderem, videremque auditorum ſtudia ipſo progreſſu exardeſcere, eſſent autem nonnulli e familiaribus, iuuenes praeclarae ſpei, qui emendandis et ſollicitandis lectionibus ingenii acumen ſubinde experirentur, inque his inprimis Io. Ferd. Frid. *Emperius*, Brunſuic. qui nunc cum illmo Comite de Bentinck in Britanniam diſceſſit; Nic. *Schow* A. M. Havnienſis Danus, Guil. *Stieglian*, Magdeburg. Chph. Guil. *Mitſcherlich* Thuring. incenſus et ipſe, vt fit, communibus ſtudiis, diligentius rem tractare coepi. Iam Apollodorum peſſime eſſe habitum cum a librariis tum ab editoribus, ſatis quidem conſtabat; vulnera tamen altius eſſe inflicta videbam, quam vt recentium, qui ad nos peruenere, codicum ope ſanari poſſint. Etſi itaque e manuſcriptorum co-

codicum copiis parum praesidii exspectandum, plura e Grammaticorum penu promi forte posse arbitrabar, circumspicere tamen coepi bibliothecarum opes, si quid forte ad rem conferrent: ita sane me illud saltem assequuturum sperabam, vt, quod in fronte libelli nunc adscriptum est, ad codicum mss. fidem eum expressum exhiberem. Num, vt scriptorem integritati restituerem, aut ab omnibus, quae ei insident, vitiis purgatum ederem, nullo modo fieri posse intelligebam; vt autem multis locis probabili medicina adhibita sanarem, poterat illud quidem non incommode fieri: verum supererant loca alia quae omnem medicinam respuerent, in aliis medela erat lubrica et incerta: nam poterat quidem facile diuinari, quid melius scribi posset, sed in veterum scriptorum dissensu quaenam sententiae auctori probata fuisset, et quibus verbis eam enuntiasset, cum pluribus formulis id fieri posset, prorsus erat incertum. Praestare itaque

videbatur, codicum lectionem, qualis nunc illa reperitur, exhibere et ab omni, quamuis probabili et tantum non certa, emendatione scriptoris verbis inferenda manum abstinere; inprimis cum tanti rem non esse viderem, vt virorum doctorum inuidiam et reprehensionem incurrerem. Nulla enim facile proferri potest, quamuis ingeniosa, emendatio, quam non seu argutando seu cauillando impugnare liceat; et parum adhuc conuenit inter viros doctos de emendationum auctoritate: alii enim superstitiose potius, quam religiose, ad omnem coniecturam auctoris verbis illatam horrescunt, alii pro eadem re habere videntur, siue verba auctoris a librariis corrupta restituant siue ipsi scriptori alia, forte veriora, elegantiora et exquisitiora, obtrudant. Ita scriptorem emendant, non librariorum vitia.

Accidit vt sub idem tempus ex venditione publica librorum P. Burmanni Secundi nanciscerentur bibliotheca nostra aca-

academica Apollodori exemplaria tria variis lectionibus, vt ferebatur, manu adscriptis instructa. Quae etsi, cum a me inspecta essent, spem egregie fallerent: in vno tamen lectionem codicis Doruilliani ad marginem adscriptam deprehendi. Cum autem a praestantissimo iuuene *Gerardo Iacoba van Swinden*, Icto, praematura morte ante hos XL. fere annos bonis litteris erepto, opes in Apollodorum paratas (quas ex praeclaro specimine nouae editionis, quam adornabat, in Misc. Obss. nou. To. III. proposito memineram) adhuc superesse audiissem, Ruhnkenium V. Cel. litteris appellaui, vt certiora hac de re nuntiaret. Ille vero, pro amore suo in me summo, cum Gerardi Iacobi fratre *Philippo van Swinden*, Icto, in Curiis Hollandiae caussarum Patrono et Consessus Illustriss. ac Praepotentium Ordinum foed. Belg. Aduocatorum principe egit, et ab eius humanitate ac facilitate, quam non sine magna laude commemorare possum, haud ac-

gre obtinuit, vt apparatum variae lectionis transcriptum ad me mitteret: de quo, vt et de aliis schedis ab optimo Viro, Ruhnkenio, mecum communicatis, in fronte notarum agam accuratius, nunc monuisse sufficiat, contineri in eo lectionem codicis Palatini, Vaticani, Medicei, Vesuntini, et duorum Regiae biblioth. Paris. Ex tertio Regio excerptam lectionem misit paulo post ad me V. C. Schweighaeuser, Professor Argentorat. Acad. doctissimus et humanissimus, cuius studio recreatum ac restitutum Appianum auide expectamus.

Copiis his, pro consilio meo et vitae meae rationibus, ita vtendum esse putaui, vt ad codicum fidem lectionem restituerem, eliminaremque adeo ea, quae ab editore primo Aegio aliunde essent illata, emendarem autem si qua praue essent edita. Sublata hoc modo sunt superiorum editionum menda innumera; inprimis autem multis locis veritas et perspicuitas sententiarum diligentiore interpunctione,

quod

quod emendandi genus inprimis magni facere soleo, est restituta. Cum autem illud critices auxilium desideret potissimum Apollodorus, vt aliena et ex Grammaticis aut librariorum stupore illata eiiciantur: ea quidem, quae codicum consensu firmabantur, expungere non sustinui, vncis tamen inclusi, vt legentem non valde morari possint.

Inter haec facile intellexi, vix a me rem ita peragi posse, quo minus mihi multarum rerum ratio esset reddenda; variae quoque lectionis apparatum expectari; occurrebant praeterea inter legendum et interpretandum nonnulla, quae non incommode possent moneri; vt adeo, quamuis ab hoc laboris genere valde abhorrerem, de notis adiiciendis cogitandum mihi esset. Verum isto tempore auocabant me aliae curae, sepositusque est Apollodorus: Nunc redemtoris librarii rationibus hactenus consulendum visum est, vt graeca saltem in publicum protruderem, et quidem seor-

seorsum ac sine annotatione, cum semel ita constitutum esset, vt lectionibus habendis auditorumque vsibus libellus inseruiret: quam bene enim is consilio huic, etiam in lyceis et gymnasiis, responderet, (paucis locis, quos seueriores mores respuunt, exceptis) testatum mihi fecit Io. Andr. *Suchfort*, A. M. Gymnasii Gottingensis Rector, vir Graecis Romanisque litteris earumque accurate tradendarum disciplina praecellens, qui, eundem libellum in lectionibus suis cum per hoc tempus esset interpretatus, copia et varietate rerum valde delectatos esse iuuèniles animos narrauit. Comprehendam igitur singulari libello, tanquam altera parte huius operis, variam lectionem cum emendationibus et illustrationibus, inprimis ex antiquis Grammaticis, reddam rationes lectionis mutatae, agam de Apollodoro, eiusque codicibus et editionibus, tum fragmenta subiiciam. Scr. Mart. cIↃIↃCCLXXXII.

ΑΠΟΛΛΟΔΩΡΟΥ
ΤΟΥ ΑΘΗΝΑΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ
ΒΙΒΛΙΟΘΗΚΗΣ
ΒΙΒΛΙΟΝ α.

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου· γήμας δὲ Γῆν, ἐτέκνωσε πρώτους τοὺς Ἑκατόγχειρας προσαγορευθέντας, Βριάρεων, Γύην, Κόττον, οἳ μεγέθει τε ἀνυπέρβλητοι καὶ δυνάμει καθειστήκεσαν· χεῖρας μὲν, ἀνὰ ἑκατὸν, κεφαλὰς δὲ, ἀνὰ πεντήκοντα ἔχοντες. Μετὰ τούτους δὲ (αὐτῷ τεκνοῖ Γῆ) Κύκλωπας, Ἄργην, Στερόπην, Βρόντην, ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου. Ἀλλὰ τούτους μὲν Οὐρανὸς δήσας, εἰς Τάρταρον ἔρριψε· τρόπος δὲ οὗτος ἐρεβώδης ἐστὶν ἐν ᾅδου, τοσ-

Cap. I, 1

2

I, 1. Coeli et Terrae progenies: Centimani. Cyclopes. Titanes. Coelus exfectus ab his.

τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα, ὅσον ἀπ' οὐρανοῦ γῆ.

3 Τεκνοῖ δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας προσαγορευθέντας, Ὠκεανόν, Κοῖον, Ὑπερίονα, Κρῖον, Ἰαπετόν, καὶ νεώτατον ἁπάντων, Κρόνον· θυγατέρας τε τὰς κληθείσας Τιτανίδας, Τηθύν, Ῥέαν, Θέμιν, Μνημοσύνην, Φοίβην, Διώνην, Θείαν.

Ἀγανακτοῦσα δὲ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον ῥιφθέντων παίδων, πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί, καὶ δίδωσιν ἀδαμαντίνην ἅρπην Κρόνῳ. οἱ δὲ, Ὠκεανοῦ χωρὶς, ἐπιτίθενται· καὶ Κρόνος ἀποτέμνων τὰ αἰδοῖα τοῦ πατρὸς εἰς τὴν θάλασσαν ἀφῖησιν. Ἐκ δὲ τῶν σταλαγμῶν τοῦ ῥέοντος αἵματος Ἐρινύες ἐγένοντο, Ἀληκτὼ, Τισιφόνη, Μέγαιρα. Τῆς δὲ ἀρχῆς ἐκβαλόν-

---

I, 1. Erinnyes prognatae. Cronus regnat: Rhea ducta sobolem sibi natam devorat.

λόντες, τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφούς, καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδωκαν.

Ὁ δὲ τούτους μὲν τῷ Ταρτάρῳ πάλιν θέσας κατεῖρξε· τὴν δὲ ἀδελφὴν Ῥέαν γήμας, ἐπειδὴ Γῆ τε καὶ Οὐρανὸς ἐπεστηρίδουν αὐτῷ, λέγοντες, ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, κατέπινε τὰ γεννώμενα, καὶ πρώτην μὲν γεννηθεῖσαν Ἑστίαν κατέπιεν· εἶτα Δήμητρα καὶ Ἥραν· μεθ' ἃς Πλούτωνα καὶ Ποσειδῶνα. Ὀργισθεῖσα δὲ ἐπὶ τούτοις Ῥέα, παραγίνεται μὲν εἰς Κρήτην, ὑπηνίκα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε· γεννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία, καὶ τοῦτον μὲν δίδωσι τρέφεσθαι Κουρησί τε, καὶ ταῖς Μελισσέως παισὶ Νύμφαις, Ἀδρασταίᾳ τε καὶ Ἴδῃ. Αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῇ τῆς Ἀμαλθείας γάλακτι· οἱ δὲ Κούρητες ἔνοπλοι ἐν τῷ

I, 1. Iupiter natus et seruatus in antro Dictaeo.

ἄντρῳ τὸ βρέφος φυλάσσουτες, τοῖς θόρασι τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ. Ῥέα δὲ λίθον σπαργανώσασα ἔδωκε Κρόνῳ καταπιεῖν, ὡς τὸν γεγεννημένον παῖδα.

Cap. II, 1 Ἐπειδὴ δὲ Ζεὺς ἐγενήθη τέλειος, λαμβάνει Μῆτιν, τὴν Ὠκεανοῦ, σύνεργον· ἣ δίδωσι Κρόνῳ καταπιεῖν φάρμακον, ὑφ' οὗ ἐκεῖνος ἀναγκασθεὶς, πρῶτον μὲν ἐξεμεῖ τὸν λίθον, ἔπειτα τοὺς παῖδας, οὓς κατέπιε· μεθ' ὧν Ζεὺς τὸν πρὸς Κρόνον καὶ Τιτᾶνας ἐξήνεγκε πόλεμον. Μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα, ἡ Γῆ τῷ Διὶ ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμμάχους· ὁ δὲ τὴν Φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας, ἔλυσε· καὶ Κύκλωπες τότε Διὶ μὲν δι-

δόασι

I, 2. Is cum fratribus bellum infert Crono et Titanibus;

δέσμοις βρόντην καὶ ἀστραπὴν καὶ κεραυνόν, Πλούτωνι δὲ κυνέην, Ποσειδῶνι δὲ τρίαινον. Οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι Τιτάνων, καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ Ταρτάρῳ, τοὺς Ἑκατόγχειρας κατέστησαν φύλακας· αὐτοὶ δὲ διαπληροῦνται περὶ τῆς ἀρχῆς, καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν ᾅδου.

Ἐγένοντο δὲ Τιτάνων ἔκγονοι Ὠκεανοῦ μὲν καὶ Τηθύος τρισχίλιοι Ὠκεανίδες, Ἀσία, Εὐρὺ, Ἠλέκτρα, Δημὼ, Εὐρυνόμη, Ἀμφιτρίτη, Μῆτις· Κοίου δὲ καὶ Φοίβης Ἀστερία καὶ Λητώ· Ὑπερίονος δὲ καὶ Θείας Ἠὼς, Ἥλιος, Σελήνη· Κρίου δὲ καὶ Εὐρυβίας τῆς Πόντου Ἀστραῖος, Πάλλας, Πέρσης·

I, 2. victos Tartaro includit; cum fratribus regnum sorte partitur. Titanum progenies; et quidem Oceani et Tethyis, Coei et Phoebes, Hyperionis et Thiae, Crii et Eurybiae,

3 Ἰαπετοῦ δὲ καὶ Ἀσίας τῆς Ὠκεανοῦ Ἄτλας, ὃς ἔχει τοῖς ὤμοις τὸν οὐρανὸν, καὶ Προμηθεὺς, καὶ Ἐπιμηθεὺς, καὶ Μενοίτιος, ὃν κεραυνώσας ἐν τῇ Τι-
4 τανομαχίᾳ Ζεὺς κατεταρτάρωσεν. Ἐγένετο δὲ καὶ Κρόνου καὶ Φιλύρας Χείρων διφυὴς Κένταυρος· Ἠοῦς δὲ καὶ Ἀστραίου Ἄνεμοι καὶ Ἄστρα· Πέρσου δὲ καὶ Ἀστερίας Ἑκάτη· Πάλλαντος δὲ καὶ Στυγὸς τῆς Ὠκεανοῦ Νίκη, Κράτος, Ζῆ-
5 λος, Βία. Τὸ δὲ τῆς Στυγὸς ὕδωρ ἐκ πέτρας ἐν ᾅδου ῥέον Ζεὺς ἐποίησεν ὅρκον, ταύτην αὐτῇ τιμὴν δοὺς, ἀνθ' ὧν αὐτῷ κατὰ Τιτάνων μετὰ τῶν παίδων συνεμάχησε.

6 Πόντου δὲ καὶ Γῆς Φόρκος, Θαύμας, Νηρεὺς, Εὐρυβία, Κητώ. Θαύμαντος μὲν οὖν καὶ Ἠλέκτρας τῆς Ὠκεανοῦ Ἶρις καὶ

I, 2. Iapeti et Asiae, Croni et Philyrae, Aftraei et Eois, Perſae et Afteriae, Pallantis et Stygis, Ponti et Terrae,

καὶ Ἄρτυιαι, Ἀελλὼ, Ὠκυπέτη· Φόρ-
κου δὲ καὶ Κητοῦς Θοωσίδες Γοργόνες,
περὶ ὧν ἐροῦμεν, ὅταν τὰ κατὰ Περσέα
λέξωμεν. Νηρέως δὲ καὶ Δωρίδος τῆς
Ὠκεανοῦ Νηρηίδες, ὧν τὰ ὀνόματα·
Κυμοθόη, Σπειὼ, Γλαυκονόμη, Ναυσι-
θόη, Ἀλίη, Ἐρατὼ, Σαὼ, Ἀμφιτρί-
τη, Εὐνίκη, Θέτις, Εὐλιμένη, Ἀγαυὴ,
Εὐδώρη, Δωτὼ, Φέρουσα, Γαλάτεια,
Ἀκταίη, Πουτομέδουσα, Ἱπποθόη, Λυ-
σιάνασσα, Κυμωὶ, Πόντη, Ἀλιμήδη, Πλη-
ξαύρη, Εὐκράτη, Πρωτὼ, Καλυψὼ,
Παυόπη, Κραμτὼ, Νεόμηρις, Ἱπτονόη,
Δηϊάνειρα, Πολυνόη, Αὐτονόη, Μελί-
τη, Διώνη, Νησαίη, Δηρὼ, Εὐαγόρη,
Ψαμάθη, Εὐμόλπη, Ἰόνη, Δυναμένη,
Κητὼ, Λιμνώρεια.

Ζεὺς δὲ γαμεῖ μὲν Ἥρην, καὶ C. III, 1
τεκνοῖ Ἥβην, Εἰλείθυιαν, Ἄρην. Μίγνυ-

I, 2. Nerei et Doridis. I, 3. Ionis progenies ex Iunone.

σαι δὲ πολλαὶς ϑυηταῖς τε καὶ ἀϑανάτοις γυναιξὶν ἐκ μὲν οὖν Θέμιδος τῆς Οὐρανοῦ γεννᾷ ϑυγατέρας, Ὥρας, Εἰρήνην, Εὐνομίαν, Δίκην· Μοίρας, Κλωϑὼ, Λάχεσιν, Ἄτροπον· ἐκ Διώνης δὲ Ἀφροδίτην· ἐξ Εὐρυνόμης δὲ τῆς Ὠκεανοῦ Χάριτας, Ἀγλαΐαν, Εὐφροσύνην, Θάλειαν· ἐκ δὲ Στυγὸς Περσεφόνην· ἐκ δὲ Μνημοσύνης Μούσας, πρώτην μὲν Καλλιόπην, εἶτα Κλειὼ, Μελπομένην, Εὐτέρπην, Ἐρατὼ, Τερψιχόρην, Οὐρανίαν, Θάλειαν, Πολυμνίαν.

2 Καλλιόπης μὲν οὖν καὶ Οἰάγρου, κατ' ἐπίκλησιν δὲ Ἀπόλλωνος, Λῖνος, ὃν Ἡρακλῆς ἀπέκτεινε· καὶ Ὀρφεὺς ὁ ἀσκήσας κιϑαρῳδίαν· ὃς ᾄδων ἐκίνει λίϑους τε καὶ δένδρα. Ἀποϑανούσης δὲ Εὐρυδίκης, τῆς γυναικὸς αὐτοῦ, δηχϑείσης

I, 3. ex Themide, ex Dione, ex Eurynome, ex Stygе, ex Mnemosyne; ex hac quidem Musae; inter quas Calliopes filii, Linus et Orpheus;

σῆς ὑπὸ ὄφεως, κατῆλθεν εἰς ᾅδου, θέλων ἀναγεῖν αὐτὴν, καὶ Πλούτωνα ἔπεισεν ἀναπέμψαι. ὁ δὲ ὑπέσχετο τοῦτο ποιήσειν, ἂν μὴ πορευόμενος Ὀρφεὺς ἐπιστραφῇ, πρὶν εἰς τὴν οἰκίαν αὐτοῦ παραγενέσθαι· ὁ δὲ, ἀπιστῶν, ἐπιστραφεὶς ἐθαύμασε τὴν γυναῖκα· ἡ δὲ πάλιν ὑπέστρεψεν. Εὗρε δὲ Ὀρφεὺς καὶ τὰ Διονύσου μυστήρια· καὶ τέθαπται περὶ τὴν Πιερίαν, διασπασθεὶς ὑπὸ τῶν Μαινάδων. Κλειὼ δὲ Πιέρου τοῦ Μάγνητος ἠράσθη κατὰ μῆνιν Ἀφροδίτης· ὠνείδισε γὰρ αὐτῇ τὸν τοῦ Ἀδώνιδος ἔρωτα· συνελθοῦσα δὲ ἐγέννησεν ἐξ αὐτοῦ παῖδα Ὑάκινθον· οὗ Θάμυρις ὁ Φιλάμμωνος καὶ Ἀργιόπης Νύμφης ἔσχεν ἔρωτα, πρῶτος ἀρξάμενος ἐρᾶν ἀῤῥένων. ἀλλ' Ὑάκινθον μὲν ὕστερον Ἀπόλλων ἐραστὴν ὄντα δίσκῳ βαλὼν ἔκτεινε. Θάμυρις δὲ κάλλει δι- 3

1, 3. Clius, Hyacinthus; amatus a Thamyri.

νεγκὼν καὶ κιθαρῳδία, περὶ μουσικῆς ἤρισε Μούσαις, συνθέμενος, ἂν μὲν κρείττων εὑρεθῇ, πλησιάσειν πάσαις· ἐὰν δὲ ἡττηθῇ, στερηθήσεσθαι οὗ ἂν ἐκεῖναι θέλωσι. Καθυπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι, καὶ τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας ἐστέρησαν. Εὐτέρπης
4 δὲ καὶ ποταμοῦ Στρύμονος Ῥῆσος, ὃν ἐν Τροίᾳ Διομήδης ἀπέκτεινεν· ὡς δὲ ἔνιοι λέγουσιν, [ὅτι] Καλλιόπης ὑπῆρχεν. Θαλείας δὲ καὶ Ἀπόλλωνος ἐγένοντο Κορύβαντες. Μελπομένης δὲ καὶ Ἀχελώου, Σειρῆνες, περὶ ὧν ἐν τοῖς περὶ Ὀδυσσέως ἐροῦμεν.
5 Ἥρα δὲ χωρὶς εὐνῆς ἐγέννησεν Ἥφαιστον· ὡς δὲ Ὅμηρος λέγει, καὶ τοῦτον ἐκ Διὸς ἐγέννησε. Ῥίπτει δὲ αὐτὸν ἐξ οὐρανοῦ Ζεὺς, Ἥρᾳ δεθείσῃ βοηθοῦντα· ταύτην γὰρ ἐξεκρέμασε Ζεὺς ἐξ Ὀλύμ-

---

I, 3. Euterpes Rhesus, Thaliae Corybantes, Melpomenes Sirenes. Iunonis partus, Vulcanus;

λύμπου, χειμῶνα ἐπιπέμψασαν Ἡρακλεῖ, ὅτε Τροίαν ἑλὼν ἔπλει. πεσόντα δὲ Ἥφαιστον ἐν Λήμνῳ, καὶ πηρωθέντα τὰς βάσεις, διέσωσε Θέτις.

Μίγνυται δὲ Ζεὺς Μήτιδι, [μεταβαλλούσῃ εἰς πολλὰς ἰδέας, ὑπὲρ τοῦ μὴ συνελθεῖν] καὶ αὐτὴν γενομένην ἔγκυον καταπίνει Φθάσας· ἐπείπερ ἔλεγε γενήσειν παῖδα, μετὰ τὴν μέλλουσαν ἐξ αὐτῆς γενέσθαι κόρην, ὃς οὐρανοῦ δυνάστης γενήσεται· τοῦτο φοβηθείς, κατέπιεν αὐτήν. Ὡς δὲ ὁ τῆς γενέσεως ἐνέστη χρόνος, πληξαντος αὐτοῦ τὴν κεφαλὴν πελέκει Προμηθέως, ἢ, καθάπερ ἄλλοι λέγουσι, καὶ Ἡφαίστου, ἐκ κορυφῆς, ἐπὶ ποταμοῦ Τρίτωνος, Ἀθηνᾶ σὺν ὅπλοις ἀνέθορε. 6

Τῶν δὲ Κοίου θυγατέρων Cap. IV, 1
Ἀστερία μὲν ὁμοιωθεῖσα ὄρτυγι ἑαυτὴν εἰς θάλασσαν ἔῤῥιψε, φεύγουσα τὴν πρὸς Δία

I, 3. Iouis, ex Metide, Minerua. I, 4. Iouis amores: Asteria;

Δία συνουσίαν, καὶ πόλις ἀπ' ἐκείνης Ἀστερία πρῶτον κληθεῖσα, ὕστερον δὲ Δῆλος.

Λητὼ δὲ, συνελθοῦσα Διΐ, κατὰ τὴν γῆν ἅπασαν ὑφ' Ἥρας ἠλαύνετο· μέχρις, εἰς Δῆλον ἐλθοῦσα, γεννᾷ πρώτην Ἄρτεμιν· ὑφ' ἧς μαιωθεῖσα, ὕστερον Ἀπόλλωνα ἐγέννησεν. Ἄρτεμις μὲν οὖν τὰ περὶ θήραν ἀσκήσασα, παρθένος ἔμεινεν. Ἀπόλλων δὲ τὴν μαντικὴν μαθὼν παρὰ τοῦ Πανὸς τοῦ Διὸς καὶ Θύμβρεως, ἦλθεν εἰς Δελφοὺς, χρησμῳδούσης τότε Θέμιδος· ὡς δὲ ὁ Φρουρῶν τὸ μαντεῖον Πύθων ὄφις ἐκώλυεν αὐτὸν παρελθεῖν ἐπὶ τὸ χάσμα τοῦτον ἀνελὼν, τὸ μαντεῖον παρελαμβάνει. Κτείνει δὲ μετ' οὐ πολὺ καὶ Τιτυὸν, ὃς ἦν Διὸς υἱὸς καὶ τῆς
1 Ὀρχομενοῦ θυγατρὸς Ἐλάρης, ἣν Ζεὺς, ἐπειδὴ συνῆλθε, δείσας Ἥραν, ὑπὸ γῆν ἔκρυ-

---

I, 4. Latona; e qua nati Diana et Apollo. Is occidit Pythonem,

ἔκρυψε, καὶ τὸν κυοφορηθέντα παῖδα Τιτυὸν ὑπερμεγέθη εἰς φῶς ἀνήγαγεν. Οὗτος ἐρχόμενος εἰς Πύθωνα, Λητὼ θεωρήσας, πόθῳ κατασχεθεὶς ἐπιπέσεται· ἡ δὲ τοὺς παῖδας ἐπικαλεῖται, καὶ κατατοξεύουσιν αὐτόν. κολάζεται δὲ καὶ μετὰ θάνατον· γύπες γὰρ αὐτοῦ τὴν καρδίαν ἐν ᾅδου ἐσθίουσιν.

Ἀπέκτεινε δὲ Ἀπόλλων καὶ τὸν 2
Ὀλύμπου παῖδα Μαρσύαν· οὗτος γὰρ εὑρὼν αὐλοὺς, οὓς ἔῤῥιψεν Ἀθηνᾶ, διὰ τὸ τὴν ὄψιν αὐτῆς ποιεῖν ἄμορφον, ἦλθεν εἰς ἔριν περὶ μουσικῆς Ἀπόλλωνι. Συνθεμένων δὲ αὐτῶν, ἵνα ὁ νικήσας, ὃ βούλεται, διαθῇ τὸν ἡττημένον· τῆς κρίσεως γενομένης, τὴν κιθάραν στρέψας ἠγωνίζετο ὁ Ἀπόλλων, καὶ ταὐτὸ ποιεῖν ἐκέλευσε τὸν Μαρσύαν· τοῦ δὲ ἀδυνατοῦντος, εὑρεθεὶς κρείσσων ὁ Ἀπόλ-

λων,

I, 4. Tityum, Marſyam,

λων, κρεμάσας τὸν Μαρσύου ἐκ τινος ὑπερτεινοῦς πίτυος, ἐκταμὼν τὸ δέρμα,
3 οὕτως διέφθειρεν. Ὡρίωνα δὲ Ἄρτεμις ἀπέκτεινεν ἐν Δήλῳ· τοῦτον γηγενῆ λέγουσιν ὑπερμεγέθη τὸ σῶμα· Φερεκύδης δὲ αὐτὸν Ποσειδῶνος καὶ Εὐρυάλης λέγει. Ἐδωρήσατο δὲ αὐτῷ Ποσειδῶν διαβαίνειν τὴν θάλασσαν. Οὗτος μὲν ἔγημε Σίδην, ἣν ἔρριψεν εἰς ᾅδου περὶ
4 μορφῆς ἐρίσασαν Ἥρᾳ. Αὖθις δὲ ἐλθὼν εἰς Χίον, Μερόπην τὴν Οἰνοπίωνος ἐμνηστεύσατο· μεθύσας δὲ Οἰνοπίων αὐτὸν, κοιμώμενον ἐτύφλωσε, καὶ παρὰ τοῖς αἰγιαλοῖς ἔρριψεν· ὁ δὲ ἐπὶ τὸ χαλκεῖον ἐλθὼν, καὶ ἁρπάσας παῖδα ἕνα, ἐπὶ τῶν ὤμων ἐπιθέμενος, ἐκέλευσε ποδηγεῖν πρὸς τὰς ἀνατολάς· ἐκεῖ δὲ παραγενόμενος, ἀνέβλεψεν, ἐκπαεὶς ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος, καὶ διὰ ταχέων ἐπὶ τὸν Οἰνοπίωνα ἔσπευδεν. Ἀλλὰ τῷ μὲν

(Πο-

1, 4. Diana Orionem.

(Ποσειδῶνι) Ἡφαιστότευκτον ὑπὲρ γῆν κατεσκεύασεν οἶκον. Ὡρίωνος δὲ Ἠὼς ἐρασθεῖσα, ἥρπασε, καὶ ἐκόμισεν εἰς Δῆλον· ἐποίει γὰρ αὐτὴν Ἀφροδίτη συνεχῶς ἐρᾶν, ὅτι Ἄρει συνευνάσθη. Ὁ δὲ Ὡρίων, ὡς μέν τινες λέγουσιν, ἀνῃρέθη, διωκόμενος Ἄρτεμιν προκαλούμενος· ὡς δέ τινες, βιαζόμενος Ὦπιν, μίαν τῶν ἐξ Ὑπερβορέων παραγενομένων παρθένων, ὑπὸ Ἀρτέμιδος ἐτοξεύθη. 4

Ποσειδῶν δὲ, Ἀμφιτρίτην τὴν Ὠκεανοῦ γαμεῖ· καὶ αὐτῷ γίνεται Τρίτων καὶ Ῥόδη, ἣν Ἥλιος ἔγημε.

Πλούτων δὲ Περσεφόνης Cap. V. 1
ἐρασθεὶς, Διὸς συνεργοῦντος, ἥρπασεν αὐτὴν κρύφα. Δήμητρα δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν

τὴν

I. 4. Ex Neptuno Triton et Rhode. I. 5. Proserpina a Plutone rapta.

τὴν γῆν ζητοῦσα περιῄει· μαθοῦσα δὲ παρ' Ἑρμιονέων, ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς κατέλιπεν οὐρανόν· εἰκασθεῖσα δὲ γυναικὶ, ἦκεν εἰς Ἔλευσῖνα, καὶ πρῶτον μὲν ἐπὶ τὴν ἐπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον ἐκάθισε πέτραν παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον· ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων, ἔνα δὴ τῶν φυσεῶν γυναικῶν, καὶ λεγουσῶν τούτων παρ' αὐτὰς καθέζεσθαι, γραῖα τις, Ἰάμβη, σκώψασα, τὴν θεὸν ἐποίησε μειδιάσαι· διὰ τοῦτο ἐν τοῖς Θεσμοφορίοις τὰς γυναῖκας σκώπτειν λέγουσιν.

I, 1 Ὄντος δὲ τῷ τοῦ Κελεοῦ γυναικὶ Μετανείρᾳ παιδίου, τοῦτο ἔθρεψεν ἡ Δημήτηρ παραλαβοῦσα· βουλομένη δὲ αὐτὸν ἀθάνατον ποιῆσαι, τὰς νύκτας εἰς πῦρ κατετίθει τὸ βρέφος, καὶ περιῄρει τὰς θνητὰς σάρκας αὐτοῦ· καθ' ἡμέραν

I, 5. Ceres Eleusinem ad Celeum deuertit.

δὲ παραδόξως αὐξανομένου τοῦ Δημοφῶντος, τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδὶ, ἐπετήρησεν Μετάνειρα, τί πράξει θεός; καὶ παταλαβοῦσα εἰς πῦρ ἐγκεκρυμμένον, ἀνεβόησε· διόπερ τὸ μὲν βρέφος ὑπὸ τοῦ πυρὸς ἀνηλώθη, ἡ θεὰ δὲ αὐτὴν ἐξέφηνε. Τριπτολέμῳ δὲ, τῷ πρεσβυτέρῳ τῶν Μετανείρας παίδων, δίφρον κατασκευάσασα πτηνῶν δρακόντων, καὶ πυρὸν ἔδωκεν, ὡ τὴν ὅλην οἰκουμένην διὰ οὐρανοῦ αἰρόμενος κατέσπειρε. Παπάσις δὲ Τριπτόλεμον Ἐλευσῖνος λέγει· φησὶ γὰρ, Δήμητρον πρὸς αὐτὸν ἐλθεῖν. Φερεκύδης δὲ φησὶν αὐτὸν υἱὸν Ὠκεανοῦ καὶ Γῆς.

Διὸς δὲ Πλούτωνι τὴν Κόρην ἀναπέμψαι κελεύσαντος, ὁ Πλούτων, ἵνα μὴ πολὺν χρόνον παρὰ τῇ μητρὶ καταμείνῃ

2

1

3

I, 5. Triptolemum frugum ſationem docet. Proſerpina apud Platonem manet.

γῃ, βοιᾶς ἔδωκεν αὐτῇ φαγεῖν κόκκον· ἡ δὲ οὐ προειδομένη τὸ συμβησόμενον κατηνάλωσεν αὐτόν. καταμαρτυρήσαντος δὲ αὐτῆς Ἀσκαλάφου τοῦ Ἀχέροντος καὶ Γοργύρας, τούτῳ μὲν Δημήτηρ ἐν ᾅδου βαρεῖαν ἐπέθηκε πέτραν. Περσεφόνη δὲ καθ' ἕκαστον ἐνιαυτὸν, τὸ μὲν τρίτον, μετὰ Πλούτωνος ἠναγκάσθη μένειν· τὸ δὲ λοιπὸν, παρὰ τοῖς θεοῖς. Περὶ μὲν οὖν Δήμητρος ταῦτα λέγεται.

Cap. VI. Γῆ δὲ περὶ Τιτάνων ἀγανακτοῦσα, γεννᾷ Γίγαντας ἐξ Οὐρανοῦ, μεγέθει μὲν σωμάτων ὑπερβλήτους, δυνάμει δὲ ἀκαταγωνίστους· οἱ Φοβεροὶ μὲν ταῖς ὄψεσι κατεφαίνοντο, καθειμένοι βαθεῖαν κόμην ἐκ κεφαλῆς καὶ γενείων· εἶχον δὲ τὰς βάσεις φολίδας δρακόντων· ἐγένοντο δὲ, ὡς μέν τινες λέγουσιν, ἐν Φλέγραις· ὡς δὲ ἄλλοι, ἐν Παλλήνῃ. ἡπόντιζον δὲ εἰς οὐρανὸν πέτρας,

I, 6. Gigantum pugna cum diis et ſtrages.

τρῖς, καὶ δρῦς ἡμερίδας. διέφθειρε δὲ πάντων Πορφυρίων τε καὶ Ἀλκυονεύς, ὃς δὴ καὶ ἀθάνατος ἦν, ἐν ᾧπερ ἐγεννήθη γῇ, μαχόμενος. οὗτος δὲ καὶ τὰς Ἡλίου βόας ἐξ Ἐρυθείας ἤλασε. Τοῖς δὲ θεοῖς λόγιον ἦν, ὑπὸ θεῶν μὲν μηδένα τῶν Γιγάντων ἀπολέσθαι δύνασθαι, σὺν δὲ μαχοῦντος δὲ θνητοῦ τινὸς, τελευτᾶν σειν. Αἰσθομένη δὲ Γῆ τοῦτο, ἐζήτει φάρμακον, ἵνα μηδ' ὑπὸ θνητοῦ δυνηθεῖεν ἀπολέσθαι· Ζεὺς δὲ ἀπείπων φαίνειν Ἠῶ τε καὶ Σελήνῃ καὶ Ἡλίῳ, τὸ μὲν φάρμακον αὐτὸς ἔκρυψε φθάσας· Ἡρακλέα δὲ σύμμαχον εἰς Ἀθηνᾶς ἐπεκαλέσατο. Καὶ κεῖνος πρῶτον μὲν ἐτόξευσεν Ἀλκυονέα· αὐτὸς γὰρ, ἐπὶ τῆς γῆς, μᾶλλον ἀνεθάλπετο· Ἀθηνᾶς δὲ ὑποθεμένης, ἔξω τῆς Παλλήνης εἵλκυσεν αὐτὸν, κἀκεῖνος μὲν οὕτω ἐτελεύτα. Πορ- 2
φυρίων δὲ Ἡρακλεῖ κατὰ μάχην ἐφορμήσας καὶ Ἥρᾳ. Ζεὺς δὲ αὐτῷ πόθον Ἥρας ἐνέβαλεν, ἥτις καὶ, καταῤῥηγνύ-

τος αὐτοῦ τοὺς πέπλους, καὶ βιάζεσθαι θέλοντος, βοηθοὺς ἐπεκαλεῖτο· καὶ Διὸς κεραυνώσαντος αὐτὸν, Ἡρακλῆς τοξεύσας ἀπέκτεινε. Τῶν δὲ λοιπῶν Ἀπόλλων μὲν Ἐφιάλτου τὸν ἀριστερὸν ἐτόξευσεν ὀφθαλμὸν, Ἡρακλῆς δὲ τὸν δεξιόν· Εὔρυτον δὲ θυρσῷ Διόνυσος ἔκτεινε· Κλύτιον δὲ, φασὶν, Ἑκάτη, μᾶλλον δὲ Ἥφαιστος βαλὼν μύδροις. Ἀθηνᾶ δὲ Ἐγκελάδῳ φεύγοντι Σικελίαν ἐπέῤῥιψε τὴν νῆσον· Πάλλαντος δὲ τὴν δορὰν ἐκτεμοῦσα, ταύτῃ κατὰ τὴν μάχην τὸ ἴδιον ἐπέσκεπε σῶμα. Πολυβώτης δὲ διὰ τῆς θαλάσσης διωχθεὶς ὑπὸ τοῦ Ποσειδῶνος, ἧκεν εἰς Κῶ· Ποσειδῶν δὲ τῆς νήσου μέρος ἀποῤῥήξας ἐπέῤῥιψεν αὐτῷ, τὸ λεγόμενον Νίσυρον. Ἑρμῆς δὲ τὴν Ἄϊδος κυνέην ἔχων κατὰ τὴν μάχην Ἱππόλυτον ἀπέκτεινεν. Ἄρτεμις δὲ Γρατίωνα. Μοῖραι δὲ Ἄγριον καὶ Θόωνα χαλκέοις ῥοπάλοις μαχομένους. τοὺς δὲ ἄλλους κεραυνοῖς Ζεὺς

βα-

βαλὼν διέφθειρε. πάντας δὲ Ἡρακλῆς ἀπολλυμένους ἐτόξευσεν.

Ὡς δὲ ἐκράτησαν οἱ θεοὶ τῶν Γιγάντων, Γῆ, μᾶλλον χολωθεῖσα, μίγνυται Ταρτάρῳ, καὶ γεννᾷ Τυφῶνα [ἐν Κιλικίᾳ] μεμιγμένην ἔχοντα φύσιν ἀνδρὸς καὶ θηρίου. οὗτος μὲν καὶ μεγέθει καὶ δυνάμει πάντων διήνεγκεν, ὅσους ἐγέννησε Γῆ. ἦν δὲ αὐτῷ τὰ μὲν ἄχρι μηρῶν ἄπλετον μέγεθος ἀνδρόμορφον, ὥστε ὑπερέχειν μὲν πάντων τῶν ὀρῶν· ἡ δὲ κεφαλὴ πολλάκις τῶν ἄστρων ἥπτετο· χεῖρας δὲ εἶχε, τὴν μὲν ἐπὶ τὴν ἑσπέραν ἐκτεινομένην, τὴν δὲ ἐπὶ τὰς ἀνατολάς· ἐκ τούτων δὲ ἐξεῖχον ἑκατὸν κεφαλαὶ δρακόντων. τὰ δὲ ἀπὸ μηρῶν, σπείρας εἶχεν ὑπερμεγέθεις ἐχιδνῶν, ἃν ὁλκοὶ πρὸς αὐτὴν ἐκτεινόμενοι κορυφὴν, συριγμὸν πολὺν ἐξίεσαν. πᾶν δὲ αὐτοῦ τὸ σῶμα κατεπτέρωτο· αἰχμηραὶ δὲ ἐκ κε- 3

I, 6. Typhon. Eius pugna cum diis et internecio.

Φαλῆρ καὶ γενείων τρίχες ἐξηνεμοῦντο· πῦρ δὲ ἐδέρκετο τοῖς ὄμμασι. Τοιοῦτος μὲν ὁ Τυφὼν καὶ τηλικοῦτος, ἡμμένας βάλλων πέτρας ἐπ' αὐτὸν τὸν οὐρανὸν, μετὰ συριγμῶν ὁμοῦ καὶ βοῆς ἐφέρετο· πολλὴ δὲ ἐκ τοῦ στόματος πυρὸς ἐξέβρασε ζάλη. Θεοὶ δὲ ὡς εἶδον αὐτὸν ἐπ' οὐρανὸν ὁρμώμενον, εἰς Αἴγυπτον φυγάδες ἐφέροντο, καὶ διωκόμενοι τὰς ἰδέας μετέβαλον εἰς ζῶα. Ζεὺς δὲ πόρρω μὲν ὄντα Τυφῶνα ἔβαλε κεραυνοῖς, πλησίον δὲ γενόμενον ἁδαμαντίνῃ κατέπτησσεν ἅρπῃ, καὶ φεύγοντα ἄχρι τοῦ Κασίου ἄρους συνεδίωξε· τοῦτο δὲ ὑπέρκειται Συρίας· ἐνθένδε δὲ αὐτὸν κατατετραμένον ἰδὼν, εἰς χεῖρας συνέβαλε. Τυφὼν δὲ ταῖς σπείραις περιπλεχθεὶς, κατέσχεν αὐτὸν, καὶ τὴν ἅρπην περιελόμενος, τά τε τῶν χειρῶν καὶ τῶν ποδῶν διάτμητα χεῦρα, ἀράμενος δὲ ἐπὶ τῶν ὤμων, διεκόμισεν αὐτὸν διὰ τῆς θαλάσσης εἰς Κιλικίαν· καὶ παρελθὼν

θὼν εἰς τὸ Κωρύκιον ἄντρον κατέθετο, ὁμοίως δὲ καὶ τὰ νεῦρα κρύψας ἄρκτου δορᾷ κεῖθι ἀπέθετο, καὶ κατέστησε Δελφύνην δράκαινκν· ἠμίθηρ δὲ ἦν αὕτη ἡ κόρη. Ἑρμῆς δὲ καὶ Αἰγίπαν ἐκκλέψαντες τὰ νεῦρα, ἥρμοσαν τῷ Διΐ λαθόντες. Ζεὺς δὲ τὴν ἰδίαν ἀνακομισάμενος ἰσχὺν, ἐξαίφνης ἐξ οὐρανοῦ ἐπὶ πτηνῶν ὀχούμενος ἵππων ἅρματι, βάλλων κεραυνοῖς, ἐπ' ὄρος ἐδίωξε Τυφῶνα, τὸ λεγόμενον Νύσαν· ὅπου Μοῖραι αὐτὸν διωχθέντα ἠπάτησαν. πεισθεὶς γὰρ ὅτι ῥωσθήσεται μᾶλλον, ἐγεύσατο τῶν ἐφημέρων καρπῶν. διόπερ ἐπιδιωκόμενος αὖθις, ἦκεν εἰς Θράκην, καὶ μαχόμενος περὶ τὸν Αἷμον, ὅλα ἔβαλεν ὄρη. τούτων δὲ ἐπ' αὐτὸν ὑπὸ τοῦ κεραυνοῦ πάλιν ὠθουμένων, πολὺ ἐπὶ τοῦ ὄρους ἐξέκλυσεν αἷμα· καί φασιν ἐκ τούτου τὸ ὄρος κληθῆναι Αἷμον. Φεύγειν δὲ ὁρμηθέντος αὐτοῦ διὰ τῆς Σικελικῆς θαλάσσης, Ζεὺς ἐπέῤῥιψεν Αἴτνην ὄρος ἐν Σικελίᾳ· τοῦτο δὲ ὑπερ-

μέγεθες ἔστιν, ἐξ οὗ μέχρι δεῦρο Φασὶν ἀπὸ τῶν βληθέντων κεραυνῶν γίνεσθαι πυρὸς ἀναφυσήματα. Ἀλλὰ περὶ μὲν τούτων μέχρι τοῦ δεῦρο ἡμῖν λελέχθω.

Cap. VII, 1 Προμηθεὺς δὲ ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας, ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρα Διὸς, ἐν νάρθηκι κρύψας. Ὡς δὲ ᾔσθετο Ζεὺς, ἐπέταξεν Ἡφαίστῳ, τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ Σκυθικὸν ὄρος ἐστίν. ἐν δὲ τούτῳ προσηλωθεὶς Προμηθεὺς, πολλῶν ἐτῶν ἀριθμὸν ἐδέδετο· καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος, αὐτοῦ τοὺς λοβοὺς ἐνέμετο τῶν ἡπάτων αὐξανομένων διὰ νυκτός. καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν, ὡς ἐν τοῖς καθ' Ἡρακλέα δηλώσομεν.

Προ-

1, 7. Prometheus ob ignem ſubductum Caucaſo affixus.

Προμηθέως δὲ παῖς Δευκαλίων ἐγέ- 2
νετο. οὗτος βασιλεύων τῶν περὶ τὴν
Φθίαν τόπων, γαμεῖ Πύῤῥαν τὴν Ἐπι-
μηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν θεοὶ
πρώτην γυναῖκα. ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς
τὸ χαλκοῦν γένος ἠθέλησεν, ὑποθεμέ-
νου Προμηθέως, Δευκαλίων τεκτηνάμε-
νος λάρνακα, καὶ τὰ ἐπιτήδεια ἐνθέμε-
νος, εἰς ταύτην μετὰ Πύῤῥας εἰσέβη.
Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας,
τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυ-
σεν· ὥστε διαφθαρῆναι πάντας ἀνθρώ-
πους, ὀλίγων χωρὶς, οἳ συνέφυγον εἰς
τὰ πλησίον ὑψηλὰ ὄρη. τότε δὲ καὶ τὰ
κατὰ Θεσσαλίαν ὄρη διέστη, καὶ τὰ
ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύ-
θη πάντα. Δευκαλίων δὲ, ἐν τῇ λάρνα-
κι διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέ-
ρας ἐννέα καὶ νύκτας ἴσας, τῷ Παρνασ-

I, 7. Deucalion ex diluuio ſeruatus genus humanum reparat.

σῷ προσίσχει, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων, ἐκβὰς θύει Διὶ Φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν, ἐπέτρεψεν αἰτεῖσθαι ὅ τι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. καὶ Διὸς εἰπόντος, ὑπὲρ κεφαλῆς ἀρῶν ἔβαλλε τοὺς λίθους· καὶ, οὓς μὲν ἔβαλλε Δευκαλίων, ἄνδρες ἐγένοντο· οὓς δὲ Πύρρα, γυναῖκες. ὅθεν καὶ λαοὶ μεταφορικῶς ὠνομάσθησαν ἀπὸ τοῦ λάας, ὁ λίθος.

Γίνονται δὲ ἐκ Πύρρας Δευκαλίωνι παῖδες· Ἕλλην μὲν πρῶτος, ὃν ἐκ Διὸς ἔνιοι γεγενῆσθαι λέγουσι. δεύτερος δὲ Ἀμφικτύων, ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς. θυγάτηρ δὲ Πρωτογένεια, ἐξ ἧς καὶ Διὸς, Ἀέθλιος. Ἕλληνος δὲ καὶ Νύμφης Ὀρσηίδος, Δῶρος,
3 Ξοῦθος, Αἴολος. αὐτὸς μὲν οὖν ἀφ' αὐτοῦ

I, 7. Deucalionis posteritas. Hellen, eiusque filii: et primo quidem Aeoli stirps.

τοῦ τοὺς καλουμένους Γραικοὺς προσηγόρευσεν Ἕλληνας. τοῖς δὲ παισὶν ἐμέρισε τὴν χώραν· καὶ Ξοῦθος μὲν λαβὼν τὴν Πελοπόννησον, ἐκ Κρεούσης τῆς Ἐρεχθέως Ἀχαιὸν ἐγέννησε καὶ Ἴωνα, ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται. Δῶρος δὲ τὴν πέραν χώραν Πελοποννήσου λαβὼν, τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν. Αἴολος δὲ βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων, τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσε· καὶ γήμας Ἐναρέτην τὴν Δηϊμάχου, παῖδας μὲν ἐγέννησεν ἑπτὰ, Κρηθέα, Σίσυφον, Ἀθάμαντα, Σαλμωνέα, Δηϊόνα, Μάγνητα, Περιήρην· θυγατέρας δὲ πέντε, Κανάκην, Ἀλκυόνην, Πεισιδίκην, Καλύκην, Περιμήδην. Περιμήδης μὲν οὖν καὶ Ἀχελώου, Ἱπποδάμας καὶ Ὀρέστης· Πεισιδίκης δὲ καὶ Μυρμιδόνος, Ἄντιφος καὶ Ἀκτωρ. Ἀλκυόνην δὲ Κῆϋξ 4
ἔγημεν Ἑωσφόρου παῖς· οὗτοι δὲ δι' ὑπερηφάνειαν ἀπώλοντο. ὁ μὲν γὰρ τὴν γυ-

ναῖκα

παῖδα ἔλαγεν Ἥραν· ἡ δὲ τὰν ἄνδρα Δία. Ζεὺς δὲ αὐτοὺς ἀπωρνέωσε, καὶ τὴν μὲν ἀλκυόνην ἐποίησε, τὸν δὲ κήϋκα. Καινέως δὲ ἐγέννησεν ἐκ Ποσειδῶνος Ὀπλέα καὶ Νηρέα, καὶ Ἐποπέα καὶ Ἀλωέα, καὶ Τρίοπα. Ἀλωεὺς μὲν οὖν ἔγημεν Ἰφιμέδειαν τὴν Τρίοπος, ἥτις Ποσειδῶνος ἠράσθη, καὶ συνελθοῦσα φοιτῶσα ἐπὶ τὴν θάλασσαν, χερσὶν ἀρυομένη τὰ κύματα τοῖς κόλποις ἐνεφόρει. συνελθὼν δὲ αὐτῇ Ποσειδῶν, δύο ἐγέννησε παῖδας, Ὦτον καὶ Ἐφιάλτην, τοὺς Ἀλωείδας λεγομένους· οὗτοι κατ' ἐνιαυτὸν ηὔξανον πλάτος μὲν πηχυαῖον, μῆκος δὲ ὀργυιαῖον· ἐννέα δὲ ἐτῶν γενόμενοι, καὶ τὸ μὲν πλάτος πηχῶν ἔχοντες ἐννέα, τὸ δὲ μέγεθος ὀργυιῶν ἐννέα, πρὸς θεὸν μάχεσθαι διενοοῦντο, καὶ τὴν μὲν Ὄσσαν ἐπὶ τὸν Ὄλυμπον ἔθεσαν, ἐπὶ δὲ τὴν Ὄσσαν θέντες τὸ Πήλιον, διὰ τῶν ὀρῶν τούτων ἠπεί-

---

I, 7. In his de Aloidis.

ἠπείλουν εἰς οὐρανὸν ἀναβήσεσθαι· καὶ τὴν μὲν θάλασσαν χώσαντες τοῖς ὄρεσι, ποιήσειν ἔλεγον ἤπειρον, τὴν δὲ γῆν, θάλασσαν. ἐμνῶντο δὲ, Ἐφιάλτης μὲν Ἥραν· Ὦτος δὲ Ἄρτεμιν. ἔδησαν δὲ καὶ Ἄρην· τοῦτον μὲν οὖν Ἑρμῆς ἐξέκλεψεν. ἀνεῖλε δὲ τοὺς Ἀλωεΐδας ἐν Νάξῳ Ἄρτεμις δι' ἀπάτης· ἀλλάξασα γὰρ τὴν ἐλάφου εἰς ἔλαφον, διὰ μέσου αὐτῶν ἐπήδησεν· οἱ δὲ βουλόμενοι εὐστοχῆσαι τὸ θηρίον, ἐφ' ἑαυτοὺς ἠκόντισαν.

Καλύκης δὲ καὶ Αἰθλίου παῖς Ἐνδυμίων γίνεται, ὅστις ἐκ Θεσσαλίας Αἰολέας ἀγαγὼν, Ἦλιν ᾤκισε. λέγουσι δὲ αὐτὸν τινὲς ἐκ Διὸς γενέσθαι. τούτου κάλλει διενεγκόντος ἠράσθη Σελήνη. Ζεὺς δὲ αὐτῷ δίδωσιν ὃ βούλεται ἑλέσθαι· ὁ δὲ αἱρεῖται κοιμᾶσθαι διὰ παντὸς ἀθάνατος καὶ ἀγήρως μένων.

Ἐν-

I, 7. Endymion.

6 Ἐνδυμίωνος δὲ καὶ [Σηΐδος Νύμφης, ἢ] Νηΐδος, ἢ, ὥς τινες, Ἰφιανάσσης, Αἰτωλὸς· ὃς ἀποκτείνας Ἄπιν τὸν Φορωνέως, καὶ φυγὼν εἰς τὴν Κουρήτιδα χώραν, κτείνας τοὺς ὑποδεξαμένους Φθίας καὶ Ἀπόλλωνος υἱοὺς, Δῶρον καὶ Λαοδόκον καὶ Πολυποίτην, ἀφ' ἑαυτοῦ τὴν χώραν Αἰτωλίαν ἐκάλεσε.

Αἰτωλοῦ δὲ καὶ Προνόης τῆς Φόρβαντος Πλευρῶν καὶ Καλυδῶν ἐγένετο, ἀφ' ὧν αἱ ἐν Αἰτωλίᾳ πόλεις ὠνομάσθησαν.

7 Πλευρῶν μὲν οὖν γήμας Ξανθίππην τὴν Δώρου, παῖδα ἐγέννησεν Ἀγήνορα· θυγατέρας δὲ, Στερόπην καὶ Στρατονίκην καὶ Λαοφόντην. Καλυδῶνος δὲ καὶ Αἰολίας τῆς Ἀμυθάονος, Ἐπικάστη καὶ Πρωτογένεια· ἐξ ἧς καὶ Ἄρεος, Ὄξυλος.

Ἀγήνωρ δὲ ὁ Πλευρῶνος γήμας Ἐπικάστην τὴν Καλυδῶνος, ἐγέννησε Πορθάονα

I, 7. Aetolus; eius f. Pleuron et Calydon. Agenoris stirps.

θέονα καὶ Δημονίκην· ἧς καὶ Ἄρεος, Εὔηνος, Μῶλος, Πύλος, Θέστιος.

Εὔηνος μὲν οὖν ἐγέννησε Μάρπησσαν, ἣν, Ἀπόλλωνος μνηστευομένου, Ἴδας ὁ Ἀφαρέως ἥρπασε, λαβὼν παρὰ Ποσειδῶνος ἅρμα ἱππόπτερον· φεύγων δὲ Εὔηνος ἐφ' ἅρματος, ἐπὶ τὸν Λυκόρμαν ἦλθε ποταμὸν, καταλαβεῖν δὲ οὐ δυνάμενος, τοὺς μὲν ἵππους ἀπέφαξεν, ἑαυτὸν δὲ εἰς τὸν ποταμὸν ἔβαλε· καὶ καλεῖται Εὔηνος ὁ ποταμὸς παρ' ἐκείνου. Ἴδας δὲ εἰς Μεσσήνην παραγίνεται, καὶ αὐτῷ ὁ Ἀπόλλων περιτυχὼν, ἁρπαζομένην τὴν κόρην. μαχομένων δὲ αὐτῶν περὶ τῶν τῆς παιδὸς γάμων, Ζεὺς διαλύσας ἐπέτρεψεν αὐτῇ τῇ παρθένῳ ἑλέσθαι, ὁποτέρῳ βούλεται συνοικεῖν· ἡ δὲ δείσασα ὡς ἂν μὴ γηρῶσαν αὐτὴν Ἀπόλλων καταλίπῃ, τὸν Ἴδαν εἵλετο ἄνδρα. 8

Θε- 9

I, 7. Marpessa Eueni f. ab Ida rapta.

10 Θεστίῳ δὲ ἐξ Εὐρυθέμιδος τῆς Κλεοβοίας ἐγένοντο θυγατέρες μὲν, Ἀλθαία, Λήδα, Ὑπερμνήστρα· ἄῤῥενες δὲ, Ἴφικλος, Εὔιππος, Πλήξιππος, Εὐρύπυλος.

Πορθάονος δὲ καὶ Εὐρύτης Ἱπποδάμαντος ἐγένοντο παῖδες, Οἰνεὺς, Ἄγριος, Ἀλκάθοος, Μέλας, Λευκωπεύς· θυγάτηρ δὲ Στερόπη, ἐξ ἧς καὶ Ἀχελώου Σειρῆνας γενέσθαι λέγουσιν.

Cap. VIII. Οἰνεὺς δὲ, βασιλεύων Καλυ-
1 δῶνος, παρὰ Διονύσου φυτὸν ἀμπέλου πρῶτος ἔλαβε. Γήμας δὲ Ἀλθαίαν τὴν Θεστίου, γεννᾷ Τοξέα, ὃν αὐτὸς ἔκτεινεν ὑπερπηδήσαντα τὴν τάφρον· καὶ παρὰ τοῦτον, Θυρέα καὶ Κλύμενον καὶ θυγατέρα Γόργην, ἣν Ἀνδραίμων ἔγημεν· καὶ Δηϊάνειραν, ἣν Ἀλθαίαν λέγουσιν ἐκ Διονύσου γεννῆσαι· αὐτὴ δὲ ἡνιόχει, καὶ

I, 7. Thestii progenies et Parthaonis. I, 8. Tum Oenei ex Althaea.

καὶ τὰ κατὰ πόλεμον ἤσκει· καὶ περὶ τῶν γάμων αὐτῆς Ἡρακλῆς πρὸς Ἀχελῶον ἐπάλαισεν. Ἐγέννησε δὲ Ἀλθαία παῖδα ἐξ Οἰνέως Μελέαγρον, ὃν ἐξ Ἄρεος γεγενῆσθαι φασί· τούτου δὲ ὄντος ἡμειρῶν ἑπτὰ, παραγενομένας τὰς Μοίρας· φασὶ δὲ εἰπεῖν· τότε τελευτήσει Μελέαγρος, ὅταν ὁ καιόμενος ἐπὶ τῆς ἐσχάρας δαλὸς κατακαῇ· τοῦτο ἀκούσασα, τὸν δαλὸν ἀνείλετο Ἀλθαία, καὶ κατέθετο εἰς λάρνακα.

Μελέαγρος δὲ, ἀνὴρ ἄτρωτος καὶ γενναῖος γενόμενος, πόνδε τὸν τρόπον ἐτελεύτησεν. Ἐτησίων καρπῶν ἐν τῇ χώρᾳ γενομένων τὰς ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων, μόνης Ἀρτέμιδος ἐξελάθετο· μηνίσασα δὲ ἡ θεὸς, κάπρον ἐφῆκεν ἔξοχον μεγέθει τε καὶ ῥώμῃ, ὃς τήν τε γῆν ἄστο-

ρον

I, 8. In his Meleager; cuius vita titioni fatali obnoxia a Parcis facta. Apri Calydonii venatio.

φον ἐπιθεῖναι, καὶ τὰ βασιλήματα καὶ τοὺς ἐντυγχάνοντας διέφθειραν· ἐπὶ τοῦτον τὸν κάπρον, τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσε, καὶ τῷ καλοῦντι τὸν θῆρα, τὴν δορὰν δώσειν ἀριστεῖον ἐπηγγείλατο. Οἱ δὲ συνελθόντες ἐπὶ τὴν τοῦ κάπρου θήραν ἦσαν οἵδε· Μελέαγρος Οἰνέως, Δρύας Ἄρεος, ἐκ Καλυδῶνος οὗτοι. Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως ἐκ Μεσσήνης. Κάστωρ καὶ Πολυδεύκης Διὸς καὶ Λήδας, ἐκ Λακεδαίμονος. Θησεὺς Αἰγέως ἐξ Ἀθηνῶν. Ἄδμητος Φέρητος ἐκ Φερῶν. Ἀγκαῖος καὶ Κηφεὺς Λαοκόωντος ἐξ Ἀρκαδίας. Ἰάσων Αἴσονος ἐξ Ἰωλκοῦ. Ἰφικλῆς Ἀμφιτρύωνος ἐκ Θηβῶν. Πειρίθοος Ἰξίονος ἐκ Λαρίσσης. Πηλεὺς Αἰακοῦ ἐκ Φθίας. Τελαμὼν Αἰακοῦ ἐκ Σαλαμῖνος. Εὐρυτίων Ἄκτορος ἐκ Φθίας. Ἀταλάντη Σχοινέως ἐξ Ἀρκαδίας. Ἀμφιά-

I, 8. Heroes qui interfuere.

Φιάρακος Οἰκλέους ἐξ Ἄργους· μετὰ τούτων καὶ οἱ Θεστίου παῖδες. Συνελθόντας δὲ αὐτοὺς Οἰνεὺς ἐπὶ ἐννέα ἡμέρας ἐξένισε· τῇ δεκάτῃ δὲ, Κηφέως καὶ Ἀγκαίου καί τινων ἄλλων ἀπαξιούντων μετὰ γυναικὸς ἐπὶ τὴν θήραν ἐξιέναι, Μελέαγρος ἔχων γυναῖκα Κλεοπάτραν τὴν Ἴδα καὶ Μαρπήσσης θυγατέρα, βουλόμενος δὲ καὶ ἐξ Ἀταλάντης τεκνοποιήσασθαι, συνηνάγκασεν αὐτοὺς ἐπὶ τὴν θήραν μετὰ ταύτης ἐξιέναι. περιστάντων δὲ αὐτῶν τὸν κάπρον, Ὕλευς μὲν καὶ Ἀγκαῖος ὑπὸ τοῦ θηρὸς διεφθάρησαν. Εὐρυτίωνα δὲ Πηλεὺς ἄκων κατηκόντισε. Τὸν δὲ κάπρον πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε· δεύτερος δὲ Ἀμφιάραος εἰς τὸν ὀφθαλμόν. Μελέαγρος δὲ αὐτὸν εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε, καὶ λαβὼν τὸ δέρας ἔδωκεν Ἀταλάντῃ. οἱ δὲ Θεστίου παῖδες

1, 8. De exuuiis apri contentio.

αἰδοξοῦντες, εἰ παρόντων ἀνδρῶν γυνὴ τὰ ἀριστεῖα λήψεται, τὸ δέρος αὐτῇ ἀφείλοντο, πάτριον γένος αὐτοῖς προσήκειν λέγοντες, εἰ Μελέαγρος λαμβάνειν μὴ προαιρεῖται. 3 Ὀργισθεὶς δὲ Μελέαγρος, τοὺς μὲν Θεστίου παῖδας ἀπέκτεινε, τὸ δὲ δέρας ἔδωκε τῇ Ἀταλάντῃ. Ἀλθαία δὲ λυπηθεῖσα ἐπὶ τῷ τῶν ἀδελφῶν ἀπωλείᾳ τὸν δαλὸν ἧψε· καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανεν.

Οἱ δὲ φασὶν οὐχ οὕτω Μελέαγρον τελευτῆσαι· ἀμφισβητούντων δὲ τοῦ θηρὸς φασὶ τῶν Θεστίου παίδων, ὡς Ἰφίκλου πρώτου βαλόντος, Κούρησι καὶ Καλυδωνίοις πόλεμον ἐνστῆναι. ἐξελθόντος δὲ Μελεάγρου, καί τινας τῶν Θεστίου παίδων φονεύσαντος, Ἀλθαίαν ἀράσασθαι κατ' αὐτοῦ· τὸν δὲ ὀργιζόμενον οἴκοι μένειν. ἤδη δὲ τῶν πολεμίων τοῖς τείχεσι προσπελαζόντων, καὶ τῶν πολιτῶν ἀξιούντων μεθ' ἱκετηρίας, βοηθεῖν, μόλις πεισθέντα ὑπὸ τῆς

τῆς γυναικὸς ἐξελθεῖν, καὶ, τοὺς λοι-
πούς κτείναντα τῶν Θεστίου παίδων,
ἀποθανεῖν μαχόμενον. Μετὰ δὲ τὸν
Μελεάγρου θάνατον Ἀλθαία καὶ Κλεο-
πάτρα ἑαυτὰς ἀνήρτησαν. αἱ δὲ θρηνοῦ-
σαι τὸν νεκρὸν γυναῖκες ἀπωρνεώθησαν.
Ἀλθαίας δὲ ἀποθανούσης, ἔγημεν 4
Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου. ταύ-
την δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα, πο-
λεμηθείσης Ὠλένου, λέγει λαβεῖν Οἰ-
νέα γέρας. Ἡσίοδος δὲ ἐξ Ὠλένου τῆς
Ἀχαΐας, ἐφθαρμένην ὑπὸ Ἱπποστρά-
του τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πα-
τέρα πέμψαι πρὸς Οἰνέα πόῤῥω τῆς Ἑλ-
λάδος ὄντα, ἐντειλάμενον ἀποκτεῖναι.
εἰσὶ δέ τινες οἱ λέγοντες, Ἱππόνουν, 5
ἐπιγνόντα τὴν ἰδίαν θυγατέρα ἐφθαρ-
μένην ὑπὸ Οἰνέως, ἔγκυον αὐτὴν πρὸς
τοῦτον ἀποπέμψαι. Ἐγεννήθη δὲ ἐκ
ταύτης Οἰνεῖ Τυδεύς. Πείσανδρος

I, 8. 4. Oeneus ex Periboea Tydeum suscipit. Is ad

δὲ αὐτὸν ἐκ Γόργης γενέσθαι λέγει· τῆς γὰρ θυγατρὸς Οἰνέα κατὰ τὴν βούλησιν Διὸς ἐρασθῆναι.

Τυδεὺς δὲ ἀνὴρ γενόμενος γενναῖος, ἐφυγαδεύθη, κτείνας, ὡς μέν τινες λέγουσιν, ἀδελφὸν Οἰνέως Ἀλκάθοον· ὡς δὲ ὁ τὴν Ἀλκμαιονίδα γεγραφὼς, τοὺς Μέλανος παῖδας, ἐπιβουλεύοντας Οἰνεῖ, Φηνέα, Εὐρύαλον, Ὑπέρλαον, Ἀντιόχην, Εὐμήδην, Στέρνοπα, Ξάνθιππον, Σθένελον· ὡς δὲ Φερεκύδης φησὶν, Ὠλενίαν ἀδελφὸν ἴδιον. Ἀγρίου δὲ δίκας ἐπάγοντος αὐτῷ, φυγὼν εἰς Ἄργος, ἧκε πρὸς Ἄδραστον, καὶ τὴν τούτου γήμας θυγατέρα Δηϊπύλην, ἐγέννησε Διομήδην.

Τυδεὺς μὲν οὖν ἐπὶ Θήβας μετὰ Ἀδράστου στρατευσάμενος, ὑπὸ Με-
6 λανίππου τρωθεὶς ἀπέθανεν. οἱ δὲ Ἀγρίου παῖδες Θερσίτης, Ὀγχηστὸς, Πρόθοος, Κελεύτωρ, Λυκωπεὺς, Μελά-

I, 8, 6. Adrastum fugit, cum eo Thebas oppugnat.

λανίππος, ἀφελόμενοι τὴν Οἰνέως βασιλείαν, τῷ πατρὶ ἔδωκαν· καὶ προσέτι ζῶντα τὸν Οἰνέα καθείρξαντες ἠλίζοντο. ὕστερον δὲ Διομήδης ἐξ Ἄργους παραγενόμενος μετ' ἄλλου κρύφα, τοὺς μὲν Ἀγρίου παῖδας, χωρὶς Ὀγχηστοῦ καὶ Θερσίτου, πάντας ἀπέκτεινεν· οὗτοι γὰρ φθάσαντες εἰς Πελοπόννησον ἔφυγον. τὴν δὲ βασιλείαν, ἐπειδὴ γηραιὸς ἦν ὁ Οἰνεύς, Ἀνδραίμονι τῷ τὴν θυγατέρα τοῦ Οἰνέως γήμαντι ἔδωκε· τὸν δὲ Οἰνέα εἰς Πελοπόννησον ἦγεν. οἱ δὲ διαφυγόντες Ἀγρίου παῖδες, ἐνεδρεύσαντες περὶ τὴν Τηλέφου ἐστίαν τῆς Ἀρκαδίας, τὸν πρεσβύτην ἀπέκτειναν. Διομήδης δὲ τὸν νεκρὸν εἰς Ἄργος κομίσας ἔθαψεν, ἔνθα νῦν πόλις ἀπ' ἐκείνου Οἰνόη καλεῖται, καὶ γῆμας Αἰγιάλειαν τὴν Ἀδράστου, ὡς ἔνιοι φασι,

τὴν

I, 8, 6. Diomedes Tydei f. Oeneum suum ab Agrii filiorum iniuria vindicat.

τὴν Αἰγιαλέως, ἐπί τε Θήβας καὶ Τροίαν ἐστράτευσε.

Cap. IX. Τῶν δὲ Αἰόλου παίδων Ἀθάμας, δυναστεύων Βοιωτίας, ἐκ Νεφέλης τέκνοι μὲν παῖδα Φρίξον, θυγατέρα δὲ Ἔλλην. αὖθις δὲ Ἰνοῖ γαμεῖ, ἐξ ἧς αὐτῷ Λέαρχος καὶ Μελικέρτης ἐγένοντο. Ἐπιβουλεύουσα δὲ Ἰνὼ τοῖς Νεφέλης τέκνοις, ἔπεισε τὰς γυναῖκας τὸν πυρὸν φρύγειν· λαμβάνουσαι δὲ κρύφα, τῶν ἀνδρῶν τοῦτο ἔπρασσον. Γῆ δὲ πεφρυγμένους πυροὺς δεχομένη, καρποὺς ἐτησίους οὐκ ἀνεδίδου. διὸ πέμπων ὁ Ἀθάμας εἰς Δελφοὺς, ἀπαλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας. Ἰνὼ δὲ τοὺς πεμφθέντας ἀνέπεισε λέγειν, ὡς εἴη δεχρησμένον, παύσασθαι τὴν ἀκαρπίαν, ἐὰν σφαγῇ Διὶ ὁ Φρίξος. τοῦτο ἀκούσας Ἀθάμας, συναναγκαζόμενος ὑπὸ τῶν τὴν γῆν κατοικούντων, τῷ βωμῷ παρ-

1, 9. 1. Athamas, Aeoli f. cuius coniux Ino primigenis Phrixo et Hellae insidiatur.

παρέστησε Φρίξον· Νεφέλη δὲ μετὰ τῆς θυγατρὸς αὐτὸν ἀνήρπασε, καὶ παρὰ Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν· ἐφ' οὗ φερόμενοι δι' οὐρανοῦ, τὴν μεταξὺ γῆν ὑπερέβησαν καὶ θάλασσαν. ὡς δὲ ἐγένοντο κατὰ τὴν μεταξὺ κειμένην θάλασσαν Σιγείου καὶ Χερρονήσου, ὤλισθεν εἰς τὸν βυθὸν ἡ Ἕλλη· κἀκεῖ θανούσης αὐτῆς, ἀπ' ἐκείνης Ἑλλήσποντος ἐκλήθη τὸ πέλαγος. Φρίξος δὲ ἦλθεν εἰς Κόλχους, ὧν Αἰήτης ἐβασίλευε παῖς Ἡλίου καὶ Περσηΐδος, ἀδελφὸς δὲ Κίρκης καὶ Πασιφάης, ἣν Μίνως ἔγημεν· οὗτος αὐτὸν ὑποδέχεται, καὶ μίαν τῶν θυγατέρων Χαλκιόπην δίδωσιν· ὁ δὲ τὸν χρυσόμαλλον κριὸν Διὶ θύει Φυξίῳ, τὸ δὲ τούτου δέρας Αἰήτῃ δίδωσιν· ἐκεῖνος δὲ αὐτὸ περὶ δρῦν ἐν Ἄρεος ἄλσει καθήλωσεν. Ἐγένοντο δὲ ἐκ Χαλκιόπης

I, 9, 1. Phrixus apud Colchos aureum vellus dedicat.

τῆς Αἰήτου τέσσαρες Φρίξῳ παῖδες, Ἄργος, Μέλας, Φρόντις, Κυτίσωρος.

2 Ἀθάμας δὲ ὕστερον, διὰ μῆνιν Ἥρας, καὶ τῶν ἐξ Ἰνοῦς ἐστερήθη παίδων· αὐτὸς μὲν γὰρ μανεὶς ἐτόξευσε Λέαρχον, Ἰνὼ δὲ Μελικέρτην μετ' ἀυτῆς εἰς πέλαγος ἔῤῥιψεν. Ἐκπεσὼν δὲ τῆς Βοιωτίας, ἐπυνθάνετο τοῦ θεοῦ, ποῦ κατοικήσει; χρησθέντος δὲ αὐτῷ, κατοικεῖν ἐν ᾧπερ ἂν τόπῳ ὑπὸ ζώων ἀγρίων ξενισθῇ, πολλὴν χώραν διελθὼν, ἐνέτυχε λύκοις πρᾳβάτων μικροὺς νεμομένοις· οἱ δὲ θεωρήσαντες αὐτὸν, ᾧ διῳροῦντο ἀπολιπόντες ἔφυγον. Ἀθάμας δὲ κτίσας τὴν χώραν, Ἀθαμαντίαν ἀφ' ἑαυτοῦ προσηγόρευσε, καὶ γήμας Θεμιστὼ τὴν Ὑψέως, ἐγέννησε Λεύκωνα, Ἐρύθριον, Σχοινέα, Πτῷον.

Σίσυ-

I. 9, 2. Athamas insanit. Ino cum Melicerta in mare se deiicit. Athamas agrum Athamantium incolit, Themistonem ducit.

Σίσυφος δὲ Αἰόλου κτίσας Ἔφυραν 3
τὴν νῦν λεγομένην Κόρινθον, γαμεῖ Με-
ρόπην τὴν Ἄτλαντος· ἐξ αὐτῶν παῖς γί-
νεται Γλαῦκος, ᾧ παῖς Βελλεροφόντης
ἐξ Εὐρυμέδης ἐγεννήθη· ὃς ἔκτεινε τὴν
πυρίπνουν Χίμαιραν. Κολάζεται δὲ Σί-
συφος ἐν ᾅδου, πέτρου ταῖς χερσὶ καὶ
τῇ κεφαλῇ κυλίων, καὶ τοῦτον ὑπερβάλ-
λειν θέλων· οὗτος δὲ ὠθούμενος ὑπ' αὐ-
τοῦ, ὠθεῖται πάλιν εἰς τοὐπίσω. τίνει δὲ
ταύτην τὴν δίκην, διὰ τὴν Ἀσωποῦ θυ-
γατέρα Αἴγιναν· ἁρπάσαντα γὰρ αὐτὴν
κρύφα Δίᾳ Ἀσωπῷ μηνύσαι ζητοῦντι
λέγεται.

Δηΐων δὲ βασιλεύων τῆς Φωκίδος, 4
Διομήδην τὴν Ξούθου γαμεῖ, καὶ αὐτῷ
γίνεται θυγάτηρ μὲν Ἀστεροπαία· παῖ-
δες δὲ Αἰνετὸς, Ἄκτωρ, Φύλακος, Κέ-
φαλος, ὃς γαμεῖ Πρόκριν τὴν Ἐρεχθέ-
ως.

I, 9, 3. Sisyphi progenies, et supplicium. 4. Progenies Deionis.

ως. αὖθις δὲ ἡ Ἠὼς αὐτὸν ἁρπάζει ἐρασθεῖσα.

5 Περιήρης δὲ Μεσσήνην κατασχών, Γοργοφόνην τὴν Περσέως ἔγημεν, ἐξ ἧς Ἀφαρεὺς αὐτῷ καὶ Λεύκιππος καὶ Τυνδάρεως ἔτι τε Ἰκάριος παῖδες ἐγένοντο. Ἕλλοι δὲ τὸν Περιήρην λέγουσιν οὐκ Αἰόλου παῖδα, ἀλλὰ Κυνόρτα τοῦ Ἀμύκλα· ὅθεν τὰ περὶ τῶν Περιήρους ἐκγόνων ἐν τῷ Ἀτλαντικῷ γένει δηλώσομεν.

6 Μάγνης δὲ Αἰόλου γαμεῖ νύμφην Ναΐδα, καὶ γίνονται αὐτῷ παῖδες, Πολυδέκτης καὶ Δίκτυς· οὗτοι Σέριφον ᾤκισαν.

7 Σαλμωνεὺς δὲ τὸ μὲν πρῶτον περὶ Θεσσαλίαν κατῴκει· παραγενόμενος δὲ αὖθις εἰς Ἦλιν, ἐκεῖ πόλιν ἔκτισεν. ὑβριστὴς δὲ ὤν, καὶ τῷ Διὶ ἐξισοῦσθαι θέ-

---

1. 9. 5. Perieris, 6. Magnetis, 7. Salmonei, qui Iouem tonantem aemulatur.

Σέλων, διὰ τὴν ἀσέβειαν ἐκολάσθη· ἔλεγε γὰρ ἑαυτὸν εἶναι Δία, καὶ τὰς ἐκείνου ἀφελόμενος θυσίας, ἑαυτῷ προσέταττε θύειν· καὶ βύρσας μὲν ἐξηρραμμένας ἐξ ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων, ἔλεγε βροντᾶν· βάλλων δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας, ἔλεγεν ἀστράπτειν. Ζεὺς δὲ αὐτὸν κεραυνώσας, τὴν πισθεῖσαν ὑπ' αὐτοῦ πόλιν καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας.

Τυρὼ δὲ ἡ Σαλμωνέως θυγάτηρ καὶ Ἀλκυδίκης, παρὰ Κρηθεῖ τῷ Σαλμωνέως ἀδελφῷ τρεφομένη, ἔρωτα ἴσχει Ἐνιπέως τοῦ ποταμοῦ· καὶ συνεχῶς ἐπὶ τὰ τούτου ῥεῖθρα φοιτῶσα, τούτοις ἀπωδύρετο. Ποσειδῶν δὲ εἰκασθεὶς Ἐνιπεῖ, συγκατεκλίθη αὐτῇ· ἡ δὲ γεννήσασα κρύφα διδύμους παῖδας ἐκτίθησιν. ἐπικειμένων δὲ τῶν βρεφῶν, παρ- 8

ιόν-

I, 9. 8. Tyrus filii ex Neptuno Pelias et Neleus expositi:

ἰόντων ἱπποφορβῶν, ἵππος μία προσαψαμένη τῇ χηλῇ ἑτέρου τῶν βραφῶν, πέλιόν τι τοῦ προσώπου μέρος ἐποίησεν. ὁ δὲ ἱπποφορβὸς ἀμφοτέρους τοὺς παῖδας ἀνελόμενος ἔθρεψε, καὶ τὸν μὲν πελιωθέντα Πελίαν ἐκάλεσε· τὸν δὲ ἕτερον Νηλέα. τελειωθέντες δὲ ἀνεγνώρισαν τὴν μητέρα, καὶ τὴν μητρυιὰν ἀπέκτειναν Σιδηρώ· κακουμένην γὰρ γνόντες ὑπ' αὐτῆς τὴν μητέρα, ὥρμησαν ἐπ' αὐτήν· ἡ δὲ Θάσασα, εἰς τὸ τῆς Ἥρας τέμενος κατέφυγε· Πελίας δὲ ἐπ' αὐτῶν τῶν βωμῶν αὐτὴν κατέσφαξε, καὶ καθόλου διετέλει τὴν Ἥραν ἀτιμάζων.

9 ἐστασίασαν δὲ ὕστερον πρὸς ἀλλήλους, καὶ Νηλεὺς μὲν ἐκπεσών, ἦκεν εἰς Μεσσήνην, καὶ Πύλον κτίζει· καὶ γαμεῖ Χλωρίδα τὴν Ἀμφίονος, ἐξ ἧς αὐτῷ γίνεται θυγάτηρ μὲν Πηρώ· ἄρρενες δὲ Ταῦρος καὶ Ἀστέριος, Πυλάων

I, 9, 8. matre agnita Sidero monetam occidunt. I, 9, 9. Nelei progenies ex Chloride:

λέων, Δημαχος, Εὐρύβιος, Ἐπίδαος, Ῥάδιος, Εὐρυμένης, Εὐαγόρας, Ἀλάστωρ, Νέστωρ, Περικλύμενος, ᾧ δὴ Ποσειδῶν δίδωσι μεταβάλλειν τὰς μορφάς· καὶ μαχόμενος, ὅτε Ἡρακλῆς ἐξεπόρθει Πύλον, γινόμενος ὁτὲ μὲν λέων, ὁτὲ δὲ ὄφις, ὁτὲ δὲ μέλισσα, ὑφ' Ἡρακλέους μετὰ τῶν ἄλλων Νηλέως παίδων ἀπέθανεν. Ἐσώθη δὲ Νέστωρ μόνος, ἐπειδὴ παρὰ Γερηνίοις ἐτρέφετο· ὃς γήμας Ἀναξιβίαν τὴν Κρατιέως, θυγατέρας μὲν Πεισιδίκην καὶ Πολυκάστην ἐγέννησε· παῖδας δὲ, Περσέα, Στράτιχον, Ἄρητον, Ἐχέφρονα, Πεισίστρατον, Ἀντίλοχον, Θρασυμήδην.

Πελίας δὲ περὶ Θεσσαλίαν κατῴκει, καὶ γήμας Ἀναξιβίαν τὴν Βίαντος, ὡς δέ ἔνιοι λέγουσι, Φιλομάχην τὴν Ἀμφίονος, ἐγέννησε παῖδα μὲν Ἄκαστον· θυγατέρας δὲ Πεισιδίκην, Πελόπειαν, Ἱπποθόην, Ἄλκηστιν. Κρη-

I, 9. 9. in qua Neſtor et Periclymenus; Neſtoris: 10. Peliae:

11 Κρηθεὺς δὲ κτίσας Ἰωλκὸν, γαμεῖ Τυρὼ τὴν Σαλμωνέως [τὴν αὐτοῦ ἀδελφιδῆν,] ἐξ ἧς αὐτῷ γίνονται παῖδες, Αἴσων, Ἀμυθάων, Φέρης.

Ἀμυθάων μὲν οὖν οἰκῶν Πύλον, Εἰδομένην γαμεῖ τὴν Φέρητος, καὶ γίνονται παῖδες αὐτῷ Βίας καὶ Μελάμπους, ὃς ἐπὶ τῶν χωρίων διατελῶν, οὔσης πρὸ τῆς οἰκήσεως αὐτοῦ ἐρυὸς, ἐν ᾗ Φυλεὺς ὄφραν ὑπῆρχεν, ἀποκτεινάντων τῶν θεραπόντων τοὺς ὄφεις, τὰ μὲν ἑρπετὰ, ξύλα συμφορήσας, ἔκαυσε, τοὺς δὲ τῶν ὄφεων νεοσσοὺς ἔθρεψεν· οἱ δὲ γενόμενοι τέλειοι, παριστάντες αὐτῷ κοιμωμένῳ τῶν ὤμων ἐξ ἑκατέρου, τὰς ἀκοὰς ταῖς γλώσσαις ἐξεκάθαιρον. ὁ δὲ ἀναστὰς, καὶ γενόμενος περιδεὴς, τῶν ὑπαστομένων ὀρνέων τὰς φωνὰς συνίει· καὶ

I, 9, 11. Crethei ex Tyro: Amythaonis Bias et Melampus; hic vates, Iphicli boues abduxit, fratri Perus, Nelei f. nuptias parauit.

καὶ παρ' ἐκείνων μαθόντων, προέλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα. προσέλαβε δὲ καὶ τὴν ἐπὶ τῶν ἱερῶν μαντικήν. περὶ δὲ τὸν Ἀλφειὸν συντυχὼν Ἀπόλλωνι, τὸ λοιπὸν ἄριστος ἦν μάντις.

Βίας δὲ ὁ Ἀμυθάονος ἐμνηστεύετο Πηρὼ τὴν Νηλέως· ὁ δὲ πολλῶν αὐτῷ μνηστευομένων τὴν θυγατέρα, δώσειν ἔφη τῷ τὰς Ἰφίκλου βόας κομίσαντι αὐτῷ· αὗται δὲ ἦσαν ἐν Φυλάκῃ, καὶ κύων ἐφύλασσεν αὐτάς· ὧν οὔτε ἄνθρωπος, οὔτε θηρίον πέλας ἐλθεῖν ἠδύνατο. ταύτας ἀδυνατῶν Βίας τὰς βόας κλέψαι, παρακαλεῖ τὸν ἀδελφὸν συλλαβέσθαι. Μελάμπους δὲ ὑπέσχετο, καὶ προεῖπεν, ὅτι φωραθήσεται κλέπτων, καὶ δεθεὶς ἐνιαυτὸν, οὕτω τὰς βόας λήψεται. μετὰ δὲ τὴν ὑπόσχεσιν εἰς Φυλάκην ἀπῆει· καὶ, καθάπερ προεῖπε, φωραθεὶς ἐπὶ τῇ κλοπῇ, δεσμοῖς ἐν οἰκήματι ἐφυλάττετο. λειπομένου δὲ τοῦ ἐνιαυτοῦ βραχέος χρόνου, τῶν κατὰ τὸ κρυφαῖον τῆς στέγης 12

σκωλήκων ἀκούει· τοῦ μὲν ἐρωτῶντος, πόσον ἤδη μέρος τοῦ δοκοῦ διαβέβρωται; τῶν δὲ ἀποκριναμένων, λοιπὸν ἐλάχιστον εἶναι· καὶ ταχέως ἐπέλευσεν αὐτὸν εἰς ἕτερον οἴκημα μεταγαγεῖν· γενομένου δὲ τούτου, μετ' οὐ πολὺ συνέπεσε τὸ οἴκημα. Θαυμάσας δὲ Φύλακος, καὶ μαθὼν, ὅτι ἐστὶ μάντις ἄριστος, λύσας παρεκάλεσεν εἰπεῖν, ὅπως αὐτοῦ τῷ παιδὶ Ἰφίκλῳ παῖδες γίνωνται; ὁ δὲ ὑπέσχετο ἐφ' ᾧ τὰς βόας λήψεται. καὶ κατασθύσας ταύρους δύο, καὶ μελίσας, τοὺς οἰωνοὺς προσεκαλέσατο· παραγενομένου δὲ αἰγυπιοῦ, παρὰ τούτου μανθάνει δή, ὅτι Φύλακος ποτὲ κριοὺς τέμνων ἐπὶ τῶν ἀγρῶν, παρὰ τῷ Ἰφίκλῳ τὴν μάχαιραν ᾐμαγμένην ἔτι κατέθετο· δείσαντος δὲ τοῦ παιδὸς καὶ φυγόντος, αὖθις κατὰ τῆς ἱερᾶς ὀρυὸς αὐτὴν ἔπηξε, καὶ ταύτην ἀμφιτροχώσας ἐκάλυψεν ὁ Φλυός.

Ἔλε-

I, 9, 12. Iphicli infirmitati medetur.

ἔλεγεν οὖν, εὑρεθείσης τῆς μαχαίρας, εἰ ξύων τὸν ἰὸν ἐπὶ ἡμέρας δέκα Ἰφίκλῳ δῷ πιεῖν, παῖδα γεννήσειν. ταῦτα μαθὼν παρ' αἰγυπιοῦ Μελάμπους, τὴν μὲν μάχαιραν εὗρε· τῷ δὲ Ἰφίκλῳ τὸν ἰὸν ξύσας ἐπὶ ἡμέρας δέκα δέδωκε πιεῖν, καὶ παῖς αὐτῷ Ποδάρκης ἐγένετο. τὰς δὲ βόας εἰς Πύλον ἤλασε, καὶ τῷ ἀδελφῷ τὴν Νηλέως θυγατέρα λαβὼν ἔδωκε. καὶ μέχρι μέν τινος ἐν Μεσσήνῃ κατῴκει· ὡς δὲ τὰς ἐν Ἄργει γυναῖκας ἐξέμηνε Διόνυσος, ἐπὶ μέρει τῆς βασιλείας ἰασάμενος αὐτὰς, ἐκεῖ μετὰ Βίαντος κατῴκησε.

Βίαντος δὲ καὶ Πηροῦς Ταλαὸς, οὗ 13
καὶ Λυσιμάχης τῆς Ἄβαντος τοῦ Μελάμποδος, Ἄδραστος, Παρθενοπαῖος, Πρόνναξ, Μηκιστεύς, Ἀριστόμαχος, Ἐριφύλη, ἣν Ἀμφιάραος γαμεῖ.

I, 9, 12. Proetidas sanat, partem sibi regni Argiuorum pro mercede petus. 13 Biantis ex Pero liberi;

Παρθενοπαίου δὲ Πρόμαχος ἐγένετο, ὃς μετὰ τῶν Ἐπιγόνων ἐπὶ Θήβας ἐστρατεύθη.

Μηνιστέως δὲ Εὐρύαλος, ὃς ἦλθεν εἰς Τροίαν.

Πρώναπτος δὲ ἐγένετο Λυκοῦργος.

Ἀδράστου δὲ καὶ Ἀμφιθέας τῆς Πρώναπτος, θυγατέρες μὲν Ἀργία, Δηϊπύλη, Αἰγιάλεια: παῖδες δὲ Αἰγιαλεὺς, Κυάνιππος.

14 Φέρης δὲ ὁ Κρηθέως, Φερὰς ἐν Θεσσαλίᾳ κτίσας, ἐγέννησεν Ἄδμητον καὶ Λυκοῦργον. Λυκοῦργος μὲν οὖν περὶ Νεμέαν κατῴκησε, γήμας δὲ Εὐρυδίκην, ὡς δὲ ἔνιοί φασιν, Ἀμφιθέαν, ἐγέννησεν Ὀφέλτην, κληθέντα Ἀρχέμορον.

15 Ἀδμήτου δὲ βασιλεύοντος τῶν Φερῶν, ἐθήτευσεν Ἀπόλλων αὐτῷ μνηστευομένῳ τὴν Πελίου θυγατέρα Ἄλκηστιν. ἐκείνῳ δὲ, δώσειν ἐπαγγειλαμένου Πελίου

1, 9, 14. Pheretis. 15 Admetus Alcestidis coniugis beneficio vitam recuperat.

λίου τὴν θυγατέρα τῷ καταζεύξαντι ἅρματα λεόντων καὶ κάπρων, Ἀπόλλων ζεύξας ἔδωκεν· ὁ δὲ πομίσας πρὸς Πελίαν, Ἄλκηστιν λαμβάνει. θύων δὲ ἐν τοῖς γάμοις, ἐξελάθετο Ἀρτέμιδι θῦσαι· διὰ τοῦτο, τὸν θάλαμον ἀνοίξας, εὗρε δρακόντων σπείραμα πεπληρωμένον. Ἀπόλλων δὲ εἰπὼν ἐξιλάσασθαι τὴν θεὸν, ἠτήσατο παρὰ Μοιρῶν, ἵνα, ὅταν Ἄδμητος μέλλῃ τελευτᾶν, ἀπολυθῇ τοῦ θανάτου, ἂν ἑκουσίως τὶς ὑπὲρ αὐτοῦ θνήσκειν ἕληται [πατὴρ ἢ μήτηρ ἢ γυνή.] ὡς δὲ ἦλθεν ἡ τοῦ θνήσκειν ἡμέρα, μήτε τοῦ πατρὸς, μήτε τῆς μητρὸς ὑπὲρ αὐτοῦ θνήσκειν θελόντων, Ἄλκηστις ὑπεραπέθανε, καὶ αὐτὴν πάλιν ἀνέπεμψεν ἡ Κόρη· ὡς δὲ ἔνιοι λέγουσιν, Ἡρακλῆς μαχεσάμενος Ἅιδῃ.

Αἴσονος δὲ τοῦ Κρηθέως καὶ Πολυμήδης τῆς Αὐτολύκου, Ἰάσων· οὗτος ὤκει 16

ἐν

D 3

I, 9, 16. Iason a Pelia ad vellus aureum repetendum mittitur.

ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ Πελίας ἐβασίλευσε μετὰ Κρηθέα· ᾧ χρωμένῳ περὶ τῆς βασιλείας ἐθέστισεν ὁ θεὸς, τὸν μονοσάνδαλον φυλάξασθαι. τὸ μὲν οὖν πρῶτον, ἠγνόει τὸν χρησμὸν, αὖθις δὲ ὕστερον αὐτὸν ἔγνω. τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίαν, ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ, καὶ τὸν Ἰάσονα μετεπέμψατο. ὁ δὲ τόθι γεωργίας ἐν τοῖς χωρίοις διατελῶν, ἔσπευσεν ἐπὶ τὴν θυσίαν· διαβαίνων δὲ ποταμὸν Ἄναυρον, ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ βείθρῳ τέθιλον. θεασάμενος δὲ Πελίας αὐτὸν, καὶ τὸν χρησμὸν συμβαλὼν, ἠρώτα προσελθὼν, τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν αὐτῷ, πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν; ὁ δὲ, εἴτε ἐπελθὼν ἄλλος, εἴτε διὰ μῆνιν Ἥρας, ἵν' ἔλθοι κακὸν Μήδειᾳ Πελίᾳ, τὴν γὰρ Ἥραν οὐκ ἐτίμα, τὸ χρυσόμαλλον δέρας, ἔφη, προσέταττον ἂν φέρειν αὐτῷ. τοῦτο Πελίας ἀκούσας, εὐ-

εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν. τοῦτο δὲ ἐν Κόλχοις ἦν ἐν Ἄρεος ἄλσει κρεμάμενον ἐκ δρυὸς, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀΰπνου.

Ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων, Ἄργον παρεκάλεσε τὸν Φρίξου· κἀκεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόντορον ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρώραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδώνιδος ξύλον. ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, καὶ χρωμένῳ ὁ θεὸς αὐτῷ πλεῖν ἐπέτρεψε συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος. Οἱ δὲ συναθροισθέντες εἰσὶν οἵδε· Τῖφυς Ἀγνίου, ὃς ἐκυβέρνα τὴν ναῦν, Ὀρφεὺς Οἰάγρου, Ζήτης καὶ Κάλαϊς Βορέου, Κάστωρ καὶ Πολυδεύκης Διὸς, Τελαμὼν καὶ Πηλεὺς Αἰακοῦ, Ἡρακλῆς Διὸς, Θησεὺς Αἰγέως, Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως, Ἀμφιάραος Οἰκλέους, Καινεὺς Κορώνου, Παλαί-

I, 9, 16. Argo nauis construitur. Argonautarum recensus.

μων Ἡφαίστου ἢ Αἰτωλοῦ, Κηφεὺς Ἀλεοῦ, Λαέρτης Ἀρκεισίου, Αὐτόλυκος Ἑρμοῦ, Ἀταλάντη Σχοινέως, Μενοίτιος Ἄκτορος, Ἄκτωρ Ἰπτάσου, Ἄδμητος Φέρητος, Ἄκαστος Πελίου, Εὔρυτος Ἑρμοῦ, Μελέαγρος Οἰνέως, Ἀγκαῖος Λυκούργου, Εὔφημος Ποσειδῶνος, Πολιὰς Θαυμάκου, Βούτης Τελέοντος, Φάνος καὶ Στάφυλος Διονύσου, Ἐργῖνος Ποσειδῶνος, Περικλύμενος Νηλέως, Αὐγέας Ἡλίου, Ἴφικλος Θεστίου, Ἄργος Φρίξου, Εὐρύαλος Μηκιστέως, Πηνέλεως Ἱππάλμου, Λήϊτος Ἀλέκτορος, Ἴφιτος Ναυβόλου, Ἀσπάλαφος καὶ Ἰάλμενος Ἄρεος, Ἀστέριος Κομήτου, Πολύφημος Ἐλάτου.

17 Οὗτοι ναυαρχοῦντος Ἰάσονος ἀναχθέντες προσίσχουσι Λήμνῳ· ἔτυχε δὲ ἡ Λῆμνος ἀνδρῶν τότε οὖσα ἔρημος, βασιλευομένη δὲ ὑπὸ Ὑψιπύλης τῆς Θόαντος

I, 9, 17. Appellunt ad Lemnum insulam,

τος δι' αἰτίαν τήνδε· αἱ Λήμνιαι τὴν Ἀφροδίτην οὐκ ἐτίμων, ἡ δὲ αὐταῖς ἐμβάλλει δυσοσμίαν, καὶ διὰ τοῦτο οἱ γήμαντες αὐτὰς ἐκ τῆς πλησίον Θρᾴκης λαβόντες αἰχμαλωτίδας συνευνάζοντο αὐταῖς· ἀτιμαζόμεναι δὲ αἱ Λήμνιαι, τούς τε πατέρας καὶ τοὺς ἄνδρας φονεύουσι· μόνη δὲ ἔσωσεν Ὑψιπύλη τὸν ἑαυτῆς πατέρα κρύψασα Θόαντα. προσχόντες οὖν τότε γυναικοκρατουμένῃ τῇ Λήμνῳ, μίσγονται ταῖς γυναιξίν. Ὑψιπύλη δὲ Ἰάσονι συνευνάζεται, καὶ γεννᾷ παῖδας, Εὔνηον καὶ Νεβροφόνον.

Ἀπὸ Λήμνου δὲ προσίσχουσι Δολίοσι, ὧν ἐβασίλευε Κύζικος· οὗτος αὐτοὺς ὑπεδέξατο φιλοφρόνως. νυκτὸς ἀναχθέντες ἐντεῦθεν, καὶ περιπεσόντες ἀντιπνοίαις, ἀγνοοῦντες πάλιν τοῖς Δολίοσι προσίσχουσιν· οἱ δὲ νομίζοντες Πελασγικὸν 18

D 5

I, 9, 18. Inde Propontidem ingressos Dolliones cum rege Cyzico benigne excipiunt:

κὴν εἶναι στρατὸν, ἔτυχον γὰρ ὑπὸ Πελάσγων συνεχῶς πολεμούμενοι, μάχην τῆς νυκτὸς συνάπτουσιν ἀγνοοῦντες πρὸς ἀγνοοῦντας. κτείναντες δὲ πολλοὺς οἱ Ἀργοναῦται, μεθ' ὧν καὶ Κύζικον, μεθ' ἡμέραν, ὡς ἔγνωσαν, ἀποδυρόμενοι τὰς τε κόμας ἐκείραντο, καὶ τὸν Κύζικον πολυτελῶς ἔθαψαν· καὶ μετὰ τὴν ταφὴν πλεύσαντες, Μυσίᾳ προσίσχουσιν.

19 Ἐνταῦθα Ἡρακλέα καὶ Πολύφημον κατέλιπον· Ὕλας γὰρ ὁ Θειοδάμαντος παῖς, Ἡρακλέους δὲ ἐρώμενος, ἀποσταλεὶς ὑδρεύσασθαι, διὰ κάλλος ὑπὸ Νυμφῶν ἡρπάγη· Πολύφημος δὲ ἀκούσας αὐτοῦ βοήσαντος, σπασάμενος τὸ ξίφος, ἐδίωξεν, ὑπὸ λῃστῶν ἄγεσθαι νομίζων, καὶ δηλοῖ συντυχόντι Ἡρακλεῖ. ζητούντων δὲ ἀμφοτέρων τὸν Ὕλαν, ἡ ναῦς ἀνήχθη, καὶ Πολύφημος μὲν ἐν Μυσίᾳ κτί-

---

1 1, § 19. Hercules et Polyphemus in Mysia relicti, dum Hylam raptum quaerunt.

κτίσας πόλιν, Κίον ἐβασίλευσεν· Ἡρακλῆς δὲ ὑπέστρεψεν εἰς Ἄργος. Ἡρόδωρος δὲ αὐτὸν οὐδὲ τὴν ἀρχὴν φησι πλεῦσαι τότε, ἀλλὰ παρ' Ὀμφάλῃ δουλεύειν. Φερεκύδης δὲ αὐτὸν ἐν Ἀφέταις τῆς Θεσσαλίας ἀπολειφθῆναι λέγει, τῆς Ἀργοῦς φθεγξαμένης, μὴ δύνασθαι φέρειν τὸ τούτου βάρος. Δημάρατος δὲ αὐτὸν εἰς Κόλχους πεπλευκότα παρέδωκε. Διονύσιος μὲν γὰρ αὐτὸν καὶ ἡγεμόνα φησὶ τῶν Ἀργοναυτῶν γενέσθαι.

Ἀπὸ δὲ Μυσίας ἀπῆλθον εἰς τὴν Βεβρύκων γῆν, ἧς ἐβασίλευσεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ Βιθυνίδος· γενναῖος δὲ ἄν οὗτος, τοὺς προσχόντας ξένους ἠνάγκαζε πυκτεύειν, καὶ τοῦτον τὸν τρόπον ἀνῄρει. παραγενόμενος οὖν καὶ τότε ἐπὶ τὴν Ἀργώ, τὸν ἄριστον αὐτῶν εἰς πυγμὴν προυκαλεῖτο· Πολυδεύκης δὲ ὑπο-

---

I, 9, 20. Ad Bebrycum littus appulsos Amycus ceestu provocat.

ὑποσχόμενος πυκτεύσειν πρὸς αὐτὸν, πλήξας κατὰ τὸν ἀγκῶνα ἀπέκτεινε. τῶν δὲ Βεβρύκων ὁρμησάντων πρὸς αὐτὸν, ἁρπάσαντες οἱ ἀργοναῦται τὰ ὅπλα, πολλοὺς φεύγοντας φονεύουσιν αὐτῶν.

21 Ἐντεῦθεν ἀναχθέντες, καταντῶσιν εἰς τὴν Θρᾴκης Σαλμυδησσὸν, ἔνθα οἰκεῖ Φινεὺς μάντις, τὰς ὄψεις πεπηρωμένος· τοῦτον οἱ μὲν τὸν Ἀγήνορος εἶναι λέγουσιν, οἱ δὲ Ποσειδῶνος υἱὸν, καὶ πηρωθῆναι φασὶν αὐτὸν, οἱ μὲν ὑπὸ θεῶν, ὅτι προὔλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα· οἱ δὲ, ὑπὸ Βορέου καὶ τῶν Ἀργοναυτῶν, ὅτι, πεισθεὶς μητρυιᾷ, τοὺς ἰδίους ἐτύφλωσε παῖδας· τινὲς δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλχων εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν· ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς Ἁρπυίας οἱ θεοί· πτερωταὶ δὲ ἦσαν αὗται, καὶ, ἐπειδὰν τῷ Φινεῖ παρατίθετο τράπεζα, ἐξ οὐ-

ρανοῦ

I, 9, 21. A Phineo Harpyias abigunt Boreadae.

ρανοῦ καθιπτάμεναι, τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα ὀσμῆς ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι προσενέγκασθαι. Βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν, ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν Ἀρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων, Ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ κατακτᾶσαι τὴν τροφὴν ἥρπαζον. θεασάμενοι δὲ οἱ Βορέου παῖδες, Ζήτης καὶ Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη, δι' ἀέρος ἐδίωκον. ἦν δὲ ταῖς Ἀρπυίαις χρεὼν τελευτᾶναι ὑπὸ τῶν Βορέου παίδων· τοῖς δὲ Βορέου παισὶ, τότε τελευτήσειν, ὅτε ἂν διώκοντες μὴ καταλάβωσι. διωκομένων δὲ τῶν Ἀρπυιῶν, ἡ μὲν κατὰ Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν ἐμπίπτει, ὃς νῦν ἀπ' ἐκείνης Ἅρπυς καλεῖται· ταύτην δὲ, οἱ μὲν Νικοθόην, οἱ δὲ Ἀελλόπουν καλοῦσιν. ἡ δὲ ἑτέρα, καλουμένη Ὠκυπέτη, ὡς δέ τινες, Ὠκυθόη,

θόη, Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόθην, αὕτη κατὰ τὴν Προποντίδα φεύγουσα, μέχρις Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται· ἐστράφη γὰρ, ὡς ἦλθεν ἐπὶ ταύτας, καὶ γενομένη κατὰ τὴν ἠϊόνα ὑπὸ πλοίου πίπτει σὺν τῷ διώκοντι. Ἀπολλώνιος δὲ ἐν τοῖς Ἀργοναύταις ἕως Στροφάδων νήσων φησὶν αὐτὰς διωχθῆναι, καὶ μηδὲν παθεῖν, δούσας ὅρκον, τὸν Φινέα μηκέτι ἀδικῆσαι.

22 Ἀπαλλαγεὶς δὲ τῶν Ἁρπυιῶν Φινεὺς, ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις, καὶ περὶ τῶν Συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ θάλασσαν· ἦσαν δὲ ὑπερμεγέθεις αὗται, συγκρουόμεναι δὲ ἀλλήλαις, ὑπὸ τῆς τῶν πνευμάτων βίας, τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον. ἐφέρετο δὲ πολλὴ μὲν ὑπ' αὐτῶν ὁμίχλη, πολὺς δὲ πάταγος. ἦν δὲ ἀδύνατον καὶ τοῖς

I, 9, 22. Symplegadas medias traiiciunt,

τοῖς πετεινοῖς δι' αὐτῶν ἐλθεῖν. εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας· ἐὰν δὲ ἀπολομένην, μὴ πλεῖν βιάζεσθαι.

Ταῦτα, ἀνήγοντο, ἀκούσαντες, καὶ ὡς πλησίον ἦσαν τῶν πετρῶν, ἀφιᾶσι δὴ τῆς πρώρας πελειάδα· τῆς δὲ ἱπταμένης, τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν ἀπεθέρισεν. ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέτρας, μετ' αἱρεσίας ἀντόνου, συλλαβομένης Ἥρας, διῆλθον, τὰ ἄκρα τῶν ἀφλάστων τῆς νηὸς περικοπείσης. αἱ μὲν οὖν Συμπληγάδες ἕκτοτε ἕστησαν· χρεὼν γὰρ ἦν αὐταῖς, νηὸς περαιωθείσης, στῆναι παντελῶς.

Οἱ δὲ Ἀργοναῦται πρὸς Μαριανδυνοὺς παρεγένοντο, κἀκεῖ Φιλοφρόνως ὁ βασιλεὺς ὑπεδέξατο. Λύκος. ἔνθα θνήσκει 23

I, 9, 23. Ad Mariandynos,

σαι μὲν Ἴδμων ὁ μάντις, πλήξαντος αὐτὸν κάπρου. θυήσκει δὲ καὶ Τίφυς, καὶ τὴν ναῦν Ἀγκαῖος ὑπισχνεῖται κυβερνᾶν.

Παραπλεύσαντες δὲ Θερμώδοντα καὶ Καύκασον, ἐπὶ Φᾶσιν ποταμὸν ἦλθον. οὗτος τῆς Κολχικῆς ἐστι γῆς. καθορμισθείσης δὲ τῆς νηὸς, ἦκε καὶ πρὸς Αἰήτην Ἰάσων, καὶ τὰ ἐπιταγέντα ὑπὸ Πελίου λέγων, παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ· ὃ δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος καταζεύξῃ. ἦσαν δὲ ἄγριοι παρ' αὐτῷ οὗτοι ταῦροι δύο μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἱ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομάτων ἐφύσων. τούτους αὐτῷ ζεύξαντι ἐπετάσσετο σπείρειν δράκοντος ὀδόντας· εἶχε γὰρ λαβὼν παρ'

I, 9, 23. tandemque ad Colchos peruentum. Aeetes tauros scripedes iungere et draconteos dentes serere iubet.

παρ' Ἀθηνᾶς τοὺς ἡμίσεις, ὧν Κάδμος ἔσπειρεν ἐν Θήβαις. ἀποροῦντος δὲ τοῦ Ἰάσονος, πῶς ἂν δύναιτο τοὺς ταύρους καταζεῦξαι, Μήδεια αὐτοῦ ἔρωτα ἴσχει. ἦν δὲ αὕτη θυγάτηρ Αἰήτου καὶ Ἰδυίας τῆς Ὠκεανοῦ, φαρμακίς. δεδοικυῖα δὲ, μὴ πρὸς τῶν ταύρων διαφθαρῇ, κρύφα τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν ταύρων ἐπηγγείλατο, καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὁμώσῃ αὐτὴν ἕξειν γυναῖκα, καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται. ὀμόσαντος δὲ Ἰάσονος, φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα, ἔφη, πρὸς μίαν ἡμέραν μήτε ἂν ὑπὸ πυρὸς ἀδικηθήσεσθαι, μήτε ὑπὸ σιδήρου. ἐδή-

λωσε

I, 9, 23. Medea Iasonis amore capta, veneficiis eum, et consiliis adiuvat.

λωσε δὲ αὐτῷ, σπειρομένων τῶν ὀδόντων, ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένους, οὓς, ἔλεγεν, ἐπειδὰν ἀθρόως θεάσηται, βάλλῃ εἰς μέσον λίθους ἄποθεν· ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν αὐτούς. Ἰάσων δὲ τοῦτο ἀκούσας, καὶ χρισάμενος τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος, ἐμάστευε τοὺς ταύρους, καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε. σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας, ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δὲ, ὅπου πλείονας ἑώρα, βάλλων ἀφανεῖς λίθους πρὸς αὐτοὺς, μαχομένους πρὸς ἀλλήλους προσιὼν ἀνῄρει. [καὶ] καταζευγνυμένων τῶν ταύρων, οὐκ ἐδίδου τὸ δέρας Αἰήτης· ἐβούλετο δὲ τήν τε Ἀργὼ καταφλέξαι, καὶ κτεῖναι τοὺς ἐμ-

I, 9, 23. tauros ille domat; e terra natos armatos internecione delet;

ἐμπλέοντας. Φθάσασα δὲ Μήδεια, τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε· καὶ τὸν Φυλάσσοντα δράκοντα κατακοιμίσασα τοῖς Φαρμάκοις, μετὰ Ἰάσονος, ἔχουσα τὸ δέρας, ἐπὶ τὴν Ἀργὼ παρεγένετο· συνείποτο δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος. οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν.

Αἰήτης δὲ ἐπιγνοὺς τὰ τῇ Μηδείᾳ 24
τετολμημένα, ὥρμησε τὴν ναῦν διώκειν. ἰδοῦσα δὲ αὐτὸν πλησίον ὄντα Μήδεια, τὸν ἀδελφὸν φονεύει· καὶ μελίσασα, κατὰ βυθοῦ ῥίπτει. συναθροίζων δὲ Αἰήτης τὰ τοῦ παιδὸς μέλη, τῆς διώξεως ὑστέρησε· διόπερ ὑποστρέψας, καὶ τὰ σωθέντα τοῦ παιδὸς μέλη θάψας, τὸν τόπον προσηγόρευσε Τόμους. πολλοὺς δὲ τῶν Κόλχων ἐπὶ τὴν ζήτησιν τῆς Ἀρ-

I, 9, 23. vellus aufert; cum Medea discedit. 24. Ea fratris Absyrti iugulati membris dispersis patrem se persequentem moratur. Missi alii Colchi ad persequendum.

γοῦς ἐξέπεμψας, ἀπειλήσας, εἰ μὴ Μήδειαν ἄξουσιν, αὐτοὺς πείσεσθαι τὰ ἐκείνης· οἱ δὲ διασχεθέντες ἄλλος ἀλλαχοῦ ζήτησιν ἐποιοῦντο.

Τοῖς Ἀργοναύταις τὸν Ἠριδανὸν ποταμὸν ἤδη παραπλέουσι μηνίσας [δὲ] Ζεὺς ὑπὲρ τοῦ φονευθέντος Ἀψύρτου χειμῶνα λάβρον ἐπιπέμψας ἐμβάλλει πλάνην· καὶ αὐτῶν τὰς Ἀψυρτίδας νήσους παραπλεόντων ἡ ναῦς φθέγγεται, μὴ λήξειν τὴν ὀργὴν τοῦ Διὸς, εἰ μὴ πορευθέντες εἰς τὴν Αὐσονίαν, τὸν Ἀψύρτου φόνον καθαρθῶσιν ὑπὸ Κίρκης· οἱ δὲ παραπλεύσαντες τὰ Λιγύων καὶ Κελτῶν ἔθνη, καὶ διὰ τοῦ Σαρδονίου πελάγους κομισθέντες, παραμειψάμενοι Τυῤῥηνίαν, ἦλθον εἰς Αἰαίαν. ἔνθα Κίρκη ἱκέται γενόμενοι καθαίρονται.

25 Παραπλεόντων δὲ Σειρῆνας αὐτῶν, Ὀρφεὺς τὴν ἐναντίαν μοῦσαν μελῳδῶν, τοὺς

1, 9, 24. A Circe lustrantur Argonautae. 25. Sirenes, Charybdin, Scyllam, Planctas salui traiiciunt.

τοὺς Ἀρτοναύτας κατέσχε. μόνος δὲ Βούτης ἐξενήξατο πρὸς αὐτὰς, ὃν ἁρπάσασα Ἀφροδίτη ἐν Λιλυβαίῳ κατῴκισε.

Μετὰ δὲ τὰς Σειρῆνας τὴν ναῦν Χάρυβδις ἐξεδέχετο, καὶ Σκύλλα, καὶ Πέτραι Πλαγκταὶ, ὑπὲρ ὧν φλὸξ πολλὴ καὶ καπνὸς ἀναφερόμενος ἑωρᾶτο. ἀλλὰ διὰ τούτων διεκόμισε τὴν ναῦν σὺν Νηρηΐσι Θέτις παρακληθεῖσα ὑπὸ Ἥρας.

Παρακμειψάμενοι δὲ Θρινακίαν νῆσον Ἡλίου βοῦς ἔχουσαν, εἰς τὴν Φαιάκων νῆσον Κέρκυραν ἧκον, ἧς βασιλεὺς ἦν Ἀλκίνοος.

Τῶν δὲ Κόλχων τὴν ναῦν εὑρεῖν μὴ δυναμένων, οἱ μὲν τοῖς Κεραυνίοις ὄρεσι παρῴκησαν, οἱ δὲ εἰς τὴν Ἰλλυρίδα κομισθέντες, ἔκτισαν Ἀψυρτίδας νήσους· ἔνιοι δὲ, πρὸς Φαίακας ἐλθόντες, τὴν Ἀρ-

 γὼ

I, 9, 25. Phaeaciam appellant. Iasoni Medea coniugio iungitur, ne ex Alcinoi sententia reddatur Colchis, qui reditum in patriam desperant.

γὰ κατέλαβον, καὶ τὴν Μήδειαν ἔκφυτον παρὰ Ἀλκινόου. ὁ δὲ εἶπεν, εἰ μὲν ἤδη συνελήλυθεν Ἰάσονι, δώσειν αὐτὴν ἐκείνῳ· εἰ δὲ ἔτι παρθένος ἐστὶ, τῷ πατρὶ ἀντιπέμψειν. Ἀρήτη δὲ ἡ Ἀλκινόου γυνὴ φθάσασα Μήδειαν Ἰάσονι συνέζευξεν. ὅθεν οἱ μὲν Κόλχοι μετὰ 26 Φαιάκων κατῴκησαν, οἱ δὲ Ἀργοναῦται μετὰ τῆς Μηδείας ἀνήχθησαν. πλέοντες δὲ νυκτὸς σφοδρῷ πνεύματι χρῶνται χειμῶνι. Ἀπόλλων δὲ στὰς ἐπὶ τὰς Μελαντίους δαφὰς, τοξεύσας τῷ βέλει εἰς τὴν θάλασσαν, κατήστρωψεν· οἱ δὲ πλησίον ἔθεάσαντο νῆσον, τῷ δὲ παρὰ προσδοκίαν ἀναφανῆναι, προσορμισθέντες, Ἀνάφην ἐκάλεσαν. Ἱδρυσάμενοι δὲ βωμὸν Ἀπόλλωνος Αἰγλήτου, καὶ θυσιάσαντες ἐπ' εὐωχίαν ἐτράπησαν. θεθεῖσαι δὲ ὑπὸ Ἀρήτης Μηδείᾳ δώδεκα θε-

---

I, 9, 26. In Anaphe insula Apollini Aegletae aram fecerunt.

θεράπαιναι, τοὺς ἀριστέας ἔσκωπτον μετὰ παιγνίας· ὅθεν ἔτι καὶ νῦν ἐν τῇ θυσίᾳ σύνηθές ἐστι σκώπτειν ταῖς γυναιξίν.

Ἐντεῦθεν ἀναχθέντες κωλύονται Κρήτῃ προσίσχειν ὑπὸ Τάλω. τοῦτον, οἱ μὲν τοῦ χαλκοῦ γένους εἶναι λέγουσιν· οἱ δὲ, ὑπὸ Ἡφαίστου Μίνωι δοθῆναι· [ὃς ἦν χαλκοῦς ἀνήρ·] εἰ δὲ Ταῦρον αὐτὸν λέγουσιν. εἶχε δὲ φλέβα μίαν ἀπὸ αὐχένος κατατείνουσαν ἄχρι σφυρῶν· κατὰ δὲ τὸ δέρμα τῆς φλεβὸς ἧλος διήρειστο χαλκοῦς. Οὗτος ὁ Τάλως τρὶς ἑκάστης ἡμέρας τὴν νῆσον περιτροχάζων ἐτήρει· διὸ καὶ τότε τὴν Ἀργὼ προσπλέουσαν θεωρῶν τοῖς λίθοις ἔβαλλεν. ἐξαπατηθεὶς δὲ ὑπὸ Μηδείας ἀπέθανεν· ὡς μὲν ἔνιοι λέγουσι, διὰ φαρμάκων αὐτῷ μανίαν Μηδείας ἐμβαλούσης· ὡς δέ

I, 9, 26. Cretam appellunt. Talos, insulae custos, interimitur.

τινες, ὑποσχομένης ποιήσειν ἀθάνατον αὐτὸν, καὶ τὸν ἧλον ἐξελούσης, ἐκρυέντος τοῦ παντὸς ἰχῶρος, ἀποθανεῖν· τινὲς δὲ, αὐτὸν τοξευθέντα ὑπὸ Ποίαντος εἰς τὸ σφυρὸν τελευτῆσαι λέγουσι.

Μίαν δὲ ἐνταῦθα νύκτα μείναντες, Αἰγίνῃ προσίσχουσιν ὑδρεύσασθαι θέλεντες, καὶ γίνεται περὶ τῆς ὑδρείας αὐτοῖς ἅμιλλα. Ἐκεῖθεν δὲ διὰ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πλεύσαντες, εἰς Ἰαλκὸν ἦλθον, τὸν πάντα πλοῦν ἐν τέσσαρσι μησὶ τελειώσαντες.

27 Πελίας δὲ ἀπογνοὺς τὴν ὑποστροφὴν τῶν Ἀργοναυτῶν, τὸν Αἴσονα κτείνειν ἤθελεν· ὁ δὲ αἰτησάμενος ἑαυτὸν ἀνελεῖν, θυσίαν ἐπιτελῶν ἀδεῶς τοῦ ταύρου αἷμα σπασάμενος ἀπέθανεν. ἡ δὲ Ἰάσονος μήτηρ ἐπαρασαμένη Πελίᾳ,

---

I. 9. 26. Tandem Iolcon reditus factus. 27 Ibi Iason parentes cum fratre occisos a Pelia comperit;

λίᾳ, νήπιον ἀπολιποῦσα παῖδα Πρόμαχον, ἑαυτὴν ἀνήρτησε· Πελίας δὲ καὶ τὸν καταλειφθέντα παῖδα ἀπέκτεινεν αὐτῆς. Ὁ δὲ Ἰάσων κατελθὼν, τὸ μὲν δέρας ἔδωκε· περὶ ὧν δὲ ἠδικήθη μετελθεῖν ἐθέλων, καιρὸν ἐξεδέχετο, καὶ τότε μὲν εἰς Ἰσθμὸν μετὰ τῶν ἀριστέων πλεύσας, ἀνέθηκε τὴν ναῦν Ποσειδῶνι, αὖθις δὲ Μήδειαν παρακαλεῖ ζητεῖν, ὅπως Πελίας αὐτῷ δίκας ὑποσχῇ· ἡ δὲ εἰς τὰ βασίλεια τοῦ Πελίου παρελθοῦσα, πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα κρεουργῆσαι καὶ καθεψῆσαι, διὰ Φαρμάκων αὐτὸν ἐπαγγελλομένη ποιήσειν νέον· καὶ, τοῦ πιστεῦσαι χάριν, κριὸν μελίσασα καὶ καθεψήσασα ἐποίησεν ἄρνα· αἱ δὲ πιστεύσασαι τὸν πατέρα κρεουργοῦσι καὶ καθεψοῦσιν· Ἄκαστος δὲ μετὰ τῶν τὴν 28
Ἰωλκὸν οἰκούντων τὸν πατέρα θάπτει,

I. 9. 27. Naui Neptuno consecrata in Isthmo, Peliae iniurias vlciscitur ope Medeae.

τὸν δὲ Ἰάσονα μετὰ τῆς Μηδείας τῆς Ἰωλκοῦ ἐκβάλλει.

Οἱ δὲ ἦσαν εἰς Κόρινθον, καὶ δέκα μὲν ἔτη διετέλουν εὐτυχοῦντες· αὖθις δὲ, τοῦ τῆς Κορίνθου βασιλέως Κρέοντος τὴν θυγατέρα Γλαύκην Ἰάσονι ἐγγυῶντος, παραπεμψάμενος Ἰάσων Μήδειαν, ἀγάμει. ἡ δὲ, οὓς τε ὤμοσεν Ἰάσων θεοὺς ἐπικαλεσαμένη, καὶ τὴν Ἰάσονος ἀχαριστίαν μεμψαμένη πολλάκις, τῇ μὲν γαμουμένῃ πέπλον μεμαγευμένον φαρμάκῳ ἔπεμψεν, ὃν ἀμφιεσαμένη, μετὰ τοῦ βοηθοῦντος πατρὸς, πυρὶ λάβρῳ κατεφλέγη, τούς τε παῖδας, οὓς εἶχεν ἐξ Ἰάσονος, Μέρμερον καὶ Φέρητα, ἀπέκτεινε, καὶ λαβοῦσα παρὰ Ἡλίου ἅρμα πτηνῶν δρακόντων, ἐπὶ τούτου φεύγουσα ἦλθεν εἰς Ἀθήνας. λέγεται δὲ, ὅτι φεύ-

---

I, 9, 28. Nouas Iasonis cum Glauce nuptias vlta Medea fugit Athenas tandemque Colchos cum Medo filio.

φεύγουσα τοὺς παῖδας νηπίους ἔτι ὄντας κατέλιπεν, ἱκέτας καθίσασα ἐπὶ τὸν βωμὸν τῆς Ἥρας τῆς Ἀκραίας· Κορίνθιοι δὲ αὐτοὺς ἀναστήσαντες κατετραυμάτισαν.

Μήδεια δὲ ἧκεν εἰς Ἀθήνας, κἀκεῖ γαμηθεῖσα Αἰγεῖ, παῖδα γεννᾷ Μῆδον. ἐπιβουλεύουσα δὲ ὕστερον Θησεῖ, φυγὰς [δὲ] Ἀθηνῶν μετὰ τοῦ παιδὸς ἐκβάλλεται. ἀλλὰ οὗτος μὲν πολλῶν κρατήσας βαρβάρων, τὴν ὑφ' ἑαυτὸν χώραν ἅπασαν Μηδίαν ἐκάλεσε, καὶ στρατευόμενος ἐπὶ Ἰνδοὺς ἀπέθανε.

Μήδεια δὲ εἰς Κόλχους ἦλθεν ἄγνωστος, καὶ καταλαβοῦσα Αἰήτην ὑπὸ τοῦ ἀδελφοῦ Πέρσου τῆς βασιλείας ἐστερημένον, κτείνασα τοῦτον, τῷ πατρὶ τὴν βασιλείαν ἀποκατέστησεν.

ΑΠΟΛ-

ΑΠΟΛΛΟΔΩΡΟΥ
ΤΟΥ ΑΘΗΝΑΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ
ΒΙΒΛΙΟΘΗΚΗΣ

ΒΙΒΛΙΟΝ β.

Cap. I. 1 Ἐπειδὴ δὲ τὸ τοῦ Δευκαλίωνος διεξεληλύθαμεν γένος, ἑξῆς λέγωμεν τὸ Ἰνάχου.

Ὠκεανοῦ καὶ Τηθύος γίνεται παῖς Ἴναχος, ἀφ' οὗ ποταμὸς ἐν Ἄργει Ἴναχος καλεῖται.

Τούτου καὶ Μελίας τῆς Ὠκεανοῦ Φορωνεύς τε καὶ Αἰγιαλεὺς παῖδες ἐγένοντο. Αἰγιαλέως μὲν οὖν, ἄπαιδος ἀποθανόντος, ἡ χώρα ἅπασα Αἰγιάλεια ἐκλήθη. Φορωνεὺς δὲ ἁπάσης τῆς ὕστερον Πελοποννήσου προσαγορευθείσης δυναστεύων, ἐκ τῆς Ἀποθήκης Νύμφης Ἄκιν καὶ

1 II, 1, 1. Genus Inachi: Aegialeus, Phoroneus,

καὶ Νιόβην ἐγάμησεν. Ἄπις μὲν οὖν εἰς τυραννίδα τὴν ἑαυτοῦ μεταστήσας δύνα-μιν, καὶ βίαιος ἦν τύραννος, ὀνομάσας ἀφ' ἑαυτοῦ τὴν Πελοπόννησον Ἀπίαν, εἶτα Θελξίονος καὶ Τελχῖνος ἐπιβαλευ-θεὶς, ἅπαις ἀπέθανε, καὶ νομισθεὶς θεὸς, ἐκλήθη Σάραπις.

Νιόβης δὲ καὶ Διὸς, ἣ πρώτη γυ-ναικὶ Ζεὺς ὑνητῇ ἐμίγη, παῖς Ἄργος ἐγένετο· ὡς δὲ Ἀκουσίλαός φησι, καὶ Πε-λασγὸς, ἀφ' οὗ πλῆθῦναι τοὺς τὴν Πε-λοπόννησον οἰκοῦντας Πελασγούς. Ἡσί-οδος δὲ τὸν Πελασγὸν αὐτόχθονά φησιν εἶναι. Ἀλλὰ περὶ μὲν τούτου πάλιν ἐροῦμεν.

Ἄργος δὲ λαβὼν παρὰ Φόρωνέως τὴν βασιλείαν, ἀφ' ἑαυτοῦ τὴν Πελοπόννη-σον ἐκάλεσεν Ἄργος. καὶ γήμας Εὐάδνην τὴν Στρύμονος καὶ Νεαίρας, ἐκύησεν Ἰα-

---

II, 1, 1. Agis. Argus cum Pelasgo. 2. Argi progenies.

Ἰασον, Παίραντον, Ἐπίδαυρον, Κρίασον, ὃς καὶ τὴν βασιλείαν παρέλαβεν. Ἐξ Ἰάσου δὲ Ἀγήνωρ γίνεται. Τούτου δὲ Ἄργος ὁ Πανόπτης λεγόμενος. εἶχε δὲ οὗτος ὀφθαλμοὺς μὲν ἐν παντὶ τῷ σώματι· ὑπερβάλλων δὲ δυνάμει, τὸν μὲν τὴν Ἀρκαδίαν λυμαινόμενον ταῦρον ἀνεῖλεν, τὴν τούτου δορὰν ἠμφιέσατο· Σάτυρον δὲ, τοὺς Ἀρκάδας ἀδικοῦντα, καὶ ἀφαιρούμενον τὰ βοσκήματα, ὑποστὰς ἀπέκτεινε. λέγεται δὲ, ὅτι καὶ τὴν Ταρτάρου καὶ Γῆς Ἔχιδναν, ἣ τοὺς παριόντας συνῆρπαζεν, ἐπιτηρήσας κοιμωμένην ἀπέκτεινεν. ἐξεδίκησε δὲ καὶ τὸν Ἄπιδος φόνον τοὺς αἰτίους ἀποκτείνας.

3 Ἄργει δὲ καὶ Ἰσμήνης τῆς Ἀσωποῦ παῖς Ἰασὼ, οὗ φασὶν Ἰὼ γενέσθαι. Κάστωρ δὲ ὁ συγγράψας τὰ χρονικὰ ἀγνοήματα, καὶ πολλοὶ τῶν τραγικῶν, Ἰνάχου

II, 1, 2. Argus panoptes. 3. Argi Iasus f. Iasi f. Io.

χου τὴν Ἰὼ λέγουσιν· Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτήν φασιν εἶναι. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε, φωραθεὶς δὲ ὑφ' Ἥρας, τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκὴν, αὐτὴν δὲ ἀπωμόσατο μὴ συνελθεῖν. διό φησιν Ἡσίοδος, οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρωτος. Ἥρα δὲ αἰτησαμένη παρὰ Διὸς τὴν βοῦν, φύλακα αὐτῆς κατέστησεν Ἄργον τὸν πανόπτην, ὃν Ἀσκληπιάδης μὲν Ἀρέστορος λέγει υἱὸν· Φερεκύδης δὲ, Ἰνάχου· Κέρκωψ δὲ, Ἄργου καὶ Ἰσμήνης τῆς Ἀσωποῦ θυγατρός· Ἀκουσίλαος δὲ γηγενῆ αὐτὸν λέγει. οὗτος ἐκ τῆς ἐλαίας ἐδέσμευεν αὐτὴν, ἥτις ἐν τῷ Μυκηναίων ὑπῆρχεν ἄλσει. Διὸς δὲ ἐπιτάξαντος Ἑρμῇ κλέψαι τὴν βοῦν, μηνύ-

σαν-

II, 1, 3. Ius bonis factus custos Argus a Mercurio trucidatus.

σαντος Ἱέρακος, ἐπειδὴ λαθεῖν οὐκ ἠδύνατο, λίθῳ βαλὼν ἀπέκτεινε τὸν Ἄργον, ὅθεν Ἀργειφόντης ἐκλήθη. Ἥρα δὲ τῇ βοὶ οἶστρον ἐμβάλλει· ἡ δὲ πρῶτον ἧκεν εἰς τὸν ἀπ' ἐκείνης Ἰόνιον κόλπον κληθέντα· ἔπειτα διὰ τῆς Ἰλλυρίδος πορευθεῖσα, καὶ τὸν Αἷμον ὑπερβαλοῦσα, διέβη τὸν τότε μὲν καλούμενον πόρον Θράκιον, νῦν δὲ ἀπ' ἐκείνης Βόσπορον. ἐπελθοῦσα δὲ εἰς Σκυθίαν καὶ τὴν Κιμμερίδα γῆν, πολλὴν χέρσον πλανηθεῖσα, καὶ πολλὴν διανήξαμένη θάλασσαν Εὐρώπης τε καὶ Ἀσίας, τελευταῖον ἧκεν εἰς Αἴγυπτον· ὅπου τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦσα, γεννᾷ παρὰ τῷ Νείλῳ ποταμῷ Ἔπαφον παῖδα. τοῦτον δὲ Ἥρα δεῖσαι Κουρήτων ἀφανῆ ποιῆσαι· οἱ δὲ ἠφάνισαν αὐτόν. καὶ Ζεὺς μὲν αἰσθόμενος κτείνει Κούρητας· Ἰὼ δὲ ἐπὶ ζήτησιν τοῦ παιδὸς ἐτράπετο. πλανωμένη δὲ

II, 1, 3. Ius errores. Ex ea natus Epaphus.

δὲ κατὰ Συρίαν ἅπασαν· ἐκεῖ γὰρ ἐμμη-
νύετο, ὡς τοῦ Βυβλίων βασιλέως γυνὴ
ἐτιθήνει τὸν υἱόν· καὶ τὸν Ἔπαφον εὑ-
ροῦσα, εἰς Αἴγυπτον ἐλθοῦσα, ἐγαμήθη 1
Τηλεγόνῳ τῷ βασιλεύοντι τότε Αἰγυ-
πτίων. ἐθρύσατο δὲ ἄγαλμα Δήμητρος, ἣν
ἐκάλεσαν Ἶσιν Αἰγύπτιοι, καὶ τὴν Ἰὼ
Ἶσιν ὁμοίως προσηγόρευσαν.

Ἔπαφος δὲ βασιλεύων Αἰγυπτίων 4
γαμεῖ Μέμφιν τὴν Νείλου θυγατέρα, καὶ
ἀπὸ ταύτης κτίζει Μέμφιν πόλιν, καὶ
τεκνοῖ θυγατέρα Λιβύην, ἀφ' ἧς ἡ χώρα
Λιβύη ἐκλήθη.

Λιβύης δὲ καὶ Ποσειδῶνος γίνονται
παῖδες δίδυμοι, Ἀγήνωρ καὶ Βῆλος.

Ἀγήνωρ μὲν οὖν εἰς Φοινίκην ἀπαλλα-
γεὶς ἐβασίλευσε, καὶ ἐπὶ τῆς μεγάλης βί-

ζης

II, 1, 3. Isis dicta Ceres et Io. 4. Ex Epapho et Memphide Libye: ex Libye et Neptuno Agenor et Belus.

ζης ἐγένετο γενάρχης· ὅθεν ὑπερθησόμεθα περὶ τούτου.

Βῆλος δὲ, ὑπομείνας ἐν Αἰγύπτῳ, βασιλεύει μὲν Αἰγύπτου· γαμεῖ δὲ Ἀγχινόην τὴν Νείλου θυγατέρα, καὶ αὐτῷ γίνονται παῖδες δίδυμοι, Αἴγυπτος καὶ Δαναός· ὡς δέ φησιν Εὐριπίδης, καὶ Κηφεὺς καὶ Φινεὺς προσέτι.

Δαναὸν μὲν οὖν Βῆλος ἐν Λιβύῃ κατῴκισεν, Αἴγυπτον δὲ ἐν Ἀραβίᾳ· ὃς καὶ καταστρεψάμενος τὴν Μελαμπόδων χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. γίνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν παῖδες πεντήκοντα· θυγατέρες δὲ Δαναῷ πεντήκοντα. στασιασάντων δὲ αὐτῶν ὕστερον, Δαναὸς τοὺς Αἰγύπτου παῖδας δεδοικὼς, ὑποθεμένης Ἀθηνᾶς αὐτῷ, ναῦν κατεσκεύασε πρῶτος πεντηκόντορον, καὶ τὰς θυγατέρας ἐνθέμενος ἔφυγε.

Προ-

II, 1, 4. Ex Belo et Anchinoe Aegyptus et Danaus. Danai fuga

Προσάγων δὲ Ῥόδῳ, τὸ τῆς Λινδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο. ἐντεῦθεν δὲ ἦλθεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσι Γελάνωρ ὁ τότε βασιλεύων. ἀνύδρου δὲ τῆς χώρας ὑπαρχούσης, ἐπειδὴ καὶ τὰς πηγὰς ἐξήρανε Ποσειδῶν μηνίων Ἰνάχῳ, διότι τὴν χώραν Ἀθηνᾶς ἐμαρτύρησεν εἶναι, τὰς θυγατέρας ὑδρευσομένας ἐπεμψε· μία δὲ αὐτῶν Ἀμυμώνη ζητοῦσα ὕδωρ ῥίπτει βέλος ἐπὶ ἔλαφον, καὶ κοιμωμένου Σατύρου τυγχάνει· ἐκεῖνος περιαναστὰς ἐπεθύμει συγγενέσθαι· Ποσειδῶνος δὲ ἐπιφανέντος, ὁ Σάτυρος μὲν ἔφυγεν, Ἀμυμώνη δὲ τούτῳ συνευνάζεται, καὶ αὐτῇ Ποσειδῶν τὰς ἐν Λέρνῃ πηγὰς ἐμήνυσεν.

Οἱ δὲ Αἰγύπτου παῖδες ἐλθόντες εἰς Ἄργος, τῆς τε ἔχθρας παύσασθαι παρεκάλουν, καὶ τὰς θυγατέρας αὐτοῦ γαμεῖν

II, 1, 4. et regnum in Argivos; Amymone filia Aegypti filii Danaidum nuptias sollicitant;

ἠξίουν· Δαναὸς δὲ, ἅμα μὲν ἀπιστῶν αὐτῶν τοῖς ἐπαγγέλμασιν, ἅμα δὲ καὶ μνησικακῶν περὶ Φυγῆς, ὡμολόγει τοὺς γάμους, καὶ διεκλήρου τὰς κόρας. Ὑπερμνήστραν μὲν οὖν τὴν πρεσβυτέραν ἐξεῖλε Λυγκεῖ, καὶ Γοργοφόνην Πρωτεῖ· οὗτοι γὰρ ἐκ βασιλίδος γυναικὸς Ἀργυφίης ἐγεγόνεισαν Αἰγύπτῳ. τῶν δὲ λοιπῶν ἔλαχον Βούσιρις μὲν καὶ Ἐγκέλαδος καὶ Λύκος καὶ Δαΐφρων τὰς Δαναῷ γεννηθείσας ἐξ Εὐρώπης Αὐτομάτην, Ἀμυμώνην, Ἀγαύην, Σκαιήν. αὗται δὲ ἐκ βασιλίδος ἐγένοντο Δαναῷ· ἐκ δὲ Ἐλεφαντίδος, Γοργοφόνη καὶ Ὑπερμνήστρα. [Λυγκεὺς δὲ καὶ Καλύκην ἔλαχεν] Ἴστρος δὲ Ἱπποδάμειαν, Χαλκώδων Ῥοδίαν, Ἀγήνωρ Κλεοπάτραν, Χαῖτος Ἀστερίαν, Διοκορυστὴς Ἱπποδάμειαν, Ἄλκις Γλαύκην, Ἀλκμήνωρ Ἱππομέδουσαν, Ἱππόθοος Γόργην, Εὐχήνωρ Ἰφιμέδουσαν, Ἱππόλυτος Ῥόδην. οὗτοι μὲν οἱ δέκα

II, 1, 4. Sortitione facta, quos nactae sunt

μα ἐξ Ἀραβίας γυναικὸς, αἱ δὲ παρθένοι ἐξ Ἁμαδρυάδων νυμφῶν· αἱ μὲν Ἀτλαντείης, αἱ δὲ ἐκ Φοίβης. Ἀγαπτόλεμος δὲ ἔλαχε Πειρήνην, Κερκέστης δὲ Δώριον, Εὐρυδάμας Φάρτην, Αἴγιος Μνήστραν, Ἄργιος Εὐίππην, Ἀρχέλαος Ἀντξιβίην, Μέναχος Νηλώ. οἱ δὲ ἑπτὰ ἐκ Φοινίσσης γυναικὸς, αἱ δὲ παρθένοι ἐξ Αἰθιοπίδος. Ἀκληρωτὶ δὲ ἔλαχον δι' ὁμωνυμίαν τὰς Μέμφιδος οἱ ἐκ Τυρίας, Κλειτὸς Κλειτὴν, Σθένελος Σθενέλην, Χρύσιππος Χρυσίππην. Οἱ δὲ ἐκ Καλιάνδης Νύμφης παῖδες δώδεκα ἐκληρώσαντο περὶ τῶν ἐκ Πολυξοῦς Ναΐδος· ἦσαν δὲ οἱ μὲν παῖδες, Εὐρύλοχος, Φάντης, Περισθένης, Ἕρμος, Δρύας, Ποταμὼν, Κισσεὺς, Λίξος, Ἴμβρος, Βρόμιος, Πολύκτωρ, Χθόνιος· αἱ δὲ κόραι [Νύμφης] Αὐτονόη, Θεανὼ, Ἠλέκτρα, Κλεοπάτρα, Εὐρυδίκη, Γλαυκίππη, Ἀνθήλεια,

I, 1, 4. sponsos iugulant.

Κλεοδώρη, Εὐίππη, Εὐρωτὼ, Στύγνη καὶ Βρύκη. Οἱ δὲ ἐκ Γοργόνων Αἰγύπτῳ γενόμενοι ἐκληρώσαντο περὶ τῶν ἐκ Πιερείας, καὶ λαγχάνει Περίφως μὲν Ἀνταίην, Ὀινεὺς Πεδάρκην, Αἴγυπτος Διωξίππην, Μετάλλης δὲ Ἀδύτην, Λεάμπος Ὠκυπέτην, Πυλάργην Ἰδμων. Οὗτοι δὲ εἰσι νεώτατοι. Ἴδας Ἱππόδικην, Δαίφρων Ἀστάντην· αὗται δὲ ἐκ μητρὸς ἐγένοντο Ἔρσης· Πανδίων Καλλιδίκην, Ἄρβηλος Οἴκην, Ὑπέρβιος Κελαινώ, Ἱπποκορυστὴς Ὑπερίππην. οὗτοι δὲ Ἡφαιστίωνος· αἱ δὲ ἐκ Κρινοῦς.

Ὡς δὲ ἐπληρώσαντο τοὺς γάμους, ἐστιάσας ἐγχειρίδια διαδίδωσι ταῖς θυγατράσιν· αἱ δὲ κοιμωμένους τοὺς νομίους ἀπέκτειναν πλὴν Ὑπερμνήστρας. αὕτη δὲ Λυγκέα διέσωσε, παρθένον αὐτὴν φυλάξαντα. διὸ καθείρξας αὐτὴν Δαναὸς ἐφρούρει. Αἱ δὲ ἄλλαι τῶν Δαναΐ-

---

II, 1, 4. Hypermnestra Lynceum seruat:

οὗ θυγατέρων τὰς μὲν κεφαλὰς τῶν νυμφῶν ἐν τῇ Λέρνῃ κατώρυξαν, τὰ δὲ σώματα πρὸ τῆς πόλεως ἐκήδευσαν. καὶ αὐτὰς ἐκάθηραν Ἀθηνᾶ τε καὶ Ἑρμῆς Διὸς κελεύσαντος.

Δαναὸς δὲ ὕστερον Ὑπερμνήστραν Λυγκεῖ συνῴκισε· τὰς δὲ λοιπὰς θυγατέρας εἰς γυμνικὸν ἀγῶνα τοῖς νικῶσιν ἔδωκεν.

Ἀμυμώνη δὲ ἐκ Ποσειδῶνος ἐγέννησε Ναύπλιον. οὗτος μακρόβιος γενόμενος, πλέων τὴν θάλασσαν, τοῖς ἐμπίπτουσιν ἐπὶ θανάτῳ ἐδυσφόρει· συνέβη οὖν καὶ αὐτὸν τελευτῆσαι ἐκείνῳ τῷ θανάτῳ, ὥπερ ἄλλων τελευτησάντων ἐδυσφόρει. Πρὶν δὲ τελευτῆσαι, ἔγημεν, ὡς μὲν οἱ Τραγικοὶ λέγουσι, Κλυμένην τὴν Κατρέως· ὡς δὲ ὁ τοὺς Νόστους γρά-

II, 1, 4. moxque ei iungitur. De ceteris Danaidibus certamen proponitur. Ex Amymone Nauplius.

ψας, Φιλύραν· ὡς δὲ Κέρκωψ, Ἡσιόνην· καὶ ἐγέννησε Παλαμήδην, Οἴακα, Ναυσιμέδοντα.

Cap. II, 1 Λυγκεὺς δὲ, μετὰ Δαναὸν Ἄργους δυναστεύων, ἐξ Ὑπερμνήστρας τεκνοῖ παῖδα Ἄβαντα.

Τούτου δὲ καὶ Ὠκαλείας τῆς Μαντινέως δίδυμοι παῖδες ἐγένοντο Ἀκρίσιος καὶ Προῖτος.

Οὗτοι, καὶ κατὰ γαστρὸς μὲν ἔτι ὄντες, ἐστασίαζον πρὸς ἀλλήλους· ὡς δὲ ἐνετράφησαν, περὶ τῆς βασιλείας ἐπολέμουν, καὶ πολεμοῦντες εὗρον ἀσπίδας πρῶτοι· καὶ κρατήσας Ἀκρίσιος Προῖτον Ἄργους ἐξελαύνει. Ὁ δὲ ἦκεν εἰς Λυκίαν πρὸς Ἰοβάτην· ὡς δέ τινές φασι, πρὸς Ἀμφιάνακτα· καὶ γαμεῖ τὴν τούτου θυγατέρα, ὡς μὲν Ὅμηρος, Ἀντειαν,

---

II, 2, 1. Lyncei Abas, Abantis Acrifius et Proetus inter se bella gerentes.

τειαν, ὡς δὲ οἱ Τραγικοὶ, Σθενέβοιαν. κατάγει δὲ αὐτὸν ὁ πηδεστὴς μετὰ στρατοῦ Λυκίαν, καὶ καταλαμβάνει Τίρυνθα, ταύτην αὐτῷ Κυκλώπων τειχισάντων. μερισάμενοι δὲ τὴν Ἀργείαν ἅπασαν κατῴκουν. καὶ Ἀκρίσιος μὲν Ἄργους βασιλεύει, Προῖτος δὲ Τίρυνθος. καὶ γίνεται Ἀκρισίῳ μὲν ἐξ Εὐρυδίκης τῆς Λακεδαίμονος Δανάη· Προίτῳ δὲ ἐκ Σθενεβοίας Λυσίππη καὶ Ἰφινόη καὶ Ἰφιάνασσα. αὗται δὲ, ὡς ἐτελειώθησαν, ἐμάνησαν· ὡς μὲν Ἡσίοδός φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο· ὡς δὲ Ἀκουσίλαος λέγει, διότι τὸ τῆς Ἥρας ξόανον ἐξηυτέλισαν. γενόμεναι δὲ ἐρμαναῖς, ἐπλανῶντο ἀνὰ τὴν Ἀργείαν ἅπασαν· αὖθις δὲ τὴν Ἀρκαδίαν καὶ τὴν Πελοπόννησον διελθοῦσαι μετὰ ἀκοσμίας ἀπάσης, διὰ τῆς ἐρημίας ἐτρόχαζον. 2

II, 2. 1. Ex Acrisio Danae. 2. Proeti filiae insanientes,

Μελάμπους δὲ ὁ Ἀμυθάονος καὶ Εἰδομένης τῆς Ἄβαντος, μάντις ὢν, καὶ τὴν διὰ Φαρμάκων καὶ καθαρμῶν θεραπείαν πρῶτος εὑρηκὼς, ὑπισχνεῖται θεραπεύσειν τὰς παρθένους, εἰ λάβοι τὸ τρίτον μέρος τῆς δυναστείας. οὐκ ἐπιτρέποντος δὲ Προίτου θεραπεύειν ἐπὶ μισθοῖς τηλικούτοις, ἔτι μᾶλλον ἐμαίνοντο αἱ παρθένοι, καὶ προσέτι μετὰ τούτων αἱ λοιπαὶ γυναῖκες. καὶ γὰρ αὗται τὰς οἰκίας ἀπολιποῦσαι, τοὺς ἰδίους ἀπώλλυον παῖδας, καὶ εἰς τὴν ἐρημίαν ἐφοίτων. προβαινούσης δὲ ἐπιπλεῖστον τῆς συμφορᾶς, τοὺς αἰτηθέντας μισθοὺς ὁ Προῖτος ἐδίδου. ὁ δὲ ὑπέσχετο θεραπεύσειν, ὅταν ἕτερον τοσοῦτον τῆς γῆς ὁ ἀδελφὸς αὐτοῦ λάβῃ Βίας. Προῖτος δὲ συλαβηθεὶς, μὴ, βραδυνούσης τῆς θεραπείας, αἰτηθείη καὶ πλεῖον, θεραπεύειν συνεχώρησεν ἐπὶ τούτοις. Μελάμπους

II, 2, 2. a Melampode sanatae.

σους δὲ παραλαβὼν τοὺς δυνατωτάτους τῶν νεανιῶν, μετ' ἀλαλαγμοῦ καὶ τινος ἐνθέου χορείας ἐκ τῶν ὀρῶν αὐτὰς ἐς Σικυῶνα συνεδίωξε. κατὰ δὲ τὸν διωγμὸν, ἡ πρεσβυτάτη τῶν θυγατέρων Ἰφινόη μετήλλαξεν· ταῖς δὲ λύπαις τυχούσαις καθαρμῶν σωφρονῆσαι συνέβη, καὶ ταύτας μὲν ἐξέδοτο Προῖτος Μελάμποδι καὶ Βίαντι. παῖδα δὲ ὕστερον ἐτέκνωσε Μεγαπένθην.

Βελλεροφόντης δὲ ὁ Γλαύκου τοῦ Σισύφου, κτείνας ἀκουσίως ἀδελφὸν Δηλιάδην, ὡς δέ τινές φασι, Πειρῆνα, ἄλλοι δὲ, Ἀλκιμένην, πρὸς Προῖτον ἐλθὼν καθαίρεται. καὶ αὐτοῦ Σθενέβοια ἔρωτα ἴσχει, καὶ προσπέμπει λόγους περὶ συνουσίας. τοῦ δὲ ἀπαρνουμένου, λέγει πρὸς Προῖτον, ὅτι Βελλεροφόντης αὐτῇ Cap. III. 1 X

II, 2, 4. Procti fr. Megapenthes. 3, 1. Bellerophon a Proeto in Lyciam missus.

αὐτῷ περὶ Φθορᾶς πρασσόμενος λόγους. Προῖτος δὲ πιστεύσας, ἔδεμεν ἐπιστολὰς αὐτῷ πρὸς Ἰοβάτην κομίσειν, ἐν αἷς ἐνεγέγραπτο, Βελλεροφόντην ἀποκτεῖναι. Ἰοβάτης δὲ ἐπιγνοὺς ἐπέστειλεν αὐτῷ Χίμαιραν κτεῖναι, νομίζων αὐτὸν ὑπὸ τοῦ θηρίου διαφθαρήσεσθαι. ἦν γὰρ οὐ μόνον ἐνὶ, ἀλλὰ πολλοῖς οὐκ εὐάλωτον. εἶχε δὲ πρωτομὴν μὲν λέοντος, οὐρὰν δὲ δράκοντος, τρίτην δὲ κεφαλὴν μέσην αἰγὸς, δι' ἧς πῦρ ἀνίει. καὶ τὴν χώραν διέφθειρε, καὶ τὰ βοσκήματα ἐλυμαίνετο· μία γὰρ φύσις τριῶν θηρίων εἶχε δυνάμιν. Λέγεται δὲ καὶ, τὴν Χίμαιραν ταύτην τραφῆναι μὲν ὑπὸ Ἀμισωδάρου, καθάπερ εἴρηκε καὶ Ὅμηρος, γενναθῆναι δὲ ἐκ Τυφῶνος καὶ Ἐχίδνης, καθὼς Ἡσίοδος ἱστορεῖ.

2 Ἀναβιβάσας οὖν ἑαυτὸν ὁ Βελλεροφόντης ἐπὶ τὸν Πήγασον, ὃν εἶχεν ἵππον ἐκ

II, 3, 1. Chimaeram trucidat.

ἐκ Μεδούσης πτηνὸν γεγεννημένον καὶ Ποσειδῶνος, ἀρθὲὶς εἰς ὕψος, ἀπὸ τοῦ τοῦ κατετόξευσε τὴν Χίμαιραν. Μετὰ δὲ τὸν ἀγῶνα τοῦτον, ἐπέταξεν αὐτῷ Σολύμοις μαχέσασθαι. ὡς δὲ ἐτελεύτησε καὶ τοῦτον, Ἀμαζόσιν ἐπέταξεν ἀγωνίζεσθαι αὐτόν. ὡς δὲ καὶ ταύτας ἀπέκτεινε, τοὺς τῇ νεότητι Λυκίων διαφέρειν δοκοῦντας ἐπιλέξας, ἐπέταξεν ἀποκτεῖναι λοχήσαντας. ὡς δὲ καὶ τούτους ἀπέκτεινε πάντας, θαυμάσας τὴν δύναμιν αὐτοῦ ὁ Ἰοβάτης, τά τε γράμματα ἔδειξε, καὶ παρ' αὐτῷ μένειν ἠξίωσε, δοὺς τὴν θυγατέρα Φιλονόην· καὶ θνήσκων τὴν βασιλείαν κατέλιπεν αὐτῷ.

Ἀκρισίῳ δὲ περὶ παίδων γενέσεως ἀρρένων χρηστηριαζομένῳ ὁ θεὸς ἔφη, Cap. IV.

II, 3, 2. Solymos, Amazones, Lycios vincit, Iobatae filia et regno potitur. 4, 1. Acrisii

ἔφη, γενέσθαι παῖδα ἐκ τῆς θυγατρὸς, ὃς αὐτὸν ἀποκτείνῃ. δείσας οὖν Ἀκρίσιος τοῦτο, ὑπὸ γῆν θάλαμον κατασκευάσας χάλκεον, τὴν Δανάην ἐφρούρει. ταύτην μὲν, ὡς ἔνιοι λέγουσιν, ἔφθειρε Προῖτος· ὅθεν αὐτοῖς καὶ ἡ στάσις ἐκινήθη· ὡς δὲ ἔνιοί φασι, Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν, καὶ διὰ τῆς ὀροφῆς εἰς τοὺς Δανάης εἰσρυεὶς κόλπους, συνῆλθεν. αἰσθόμενος δὲ Ἀκρίσιος ὕστερον, ἐξ αὐτῆς γεγεννημένον Περσέα, μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι, τὴν θυγατέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν, ἔῤῥιψεν εἰς θάλασσαν. προσενεχθείσης δὲ τῆς λάρνακος Σερίφῳ, Δίκτυς ἄρας ἀνέτρεφε τοῦτον.

2 Βασιλεύων δὲ τῆς Σερίφου Πολυδέκτης, ἀδελφὸς Δίκτυος, Δανάης ἐρασθεὶς, καὶ, ἠνδρωμένου Περσέως, μὴ δυνά-

II, 4, 1. filia Danae cum puero Perseo in Seriphum delata. 2. A Polydecte Perseus ad Medusae caput

δυνάμενος αὐτῇ συνελθεῖν, συνεκάλει τοὺς φίλους, μεθ' ὧν καὶ Περσέα, λέγων, ἔρανον συνάγειν ἐπὶ τοὺς Ἱπποδαμείας τῆς Οἰνομάου γάμους. τοῦ δὲ Περσέως εἰπόντος, καὶ ἐπὶ τῇ κεφαλῇ τῆς Γοργόνος οὐκ ἀντερεῖν, παρὰ μὲν τῶν λοιπῶν ᾔτησεν ἵππους· παρὰ δὲ τοῦ Περσέως οὐ λαβὼν τοὺς ἵππους, ἐπέταξε τῆς Γοργόνος κομίζειν τὴν κεφαλήν. Ὁ δὲ, Ἑρμοῦ καὶ Ἀθηνᾶς προκαθηγουμένων, ἐπὶ τὰς Φόρκου γίνεται θυγατέρας Ἐνυὼ, Πεφρηδὼ καὶ Δεινώ· ἦσαν δὲ αὗται Κητοῦς τε καὶ Φόρκου, Γοργόνων ἀδελφαὶ, γραῖαι ἐκ γενετῆς, ἕνα τε ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον, καὶ ταῦτα παρὰ μέρος ἤμειβον ἀλλήλαις. ὧν κυριεύσας ὁ Περσεὺς, ὡς ἀπήτουν, ἔφη δώσειν, ἂν ὑφηγήσωνται τὴν ὁδὸν τὴν ἐπὶ τὰς Νύμφας φέρουσαν. αὗται δὲ αἱ Νύμφαι πτηνὰ εἶχον

τέ-

II, 4, 2. afferendum missus, edit Graeas.

πέδιλα, καὶ τὴν κίβισιν, ἣν Φασιν εἶναι πήραν. [Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως·

Πᾶν δὲ μετάφρενον εἶχε κάρα δεινοῖο πελώρου
Γοργοῦς, ἀμφὶ δέ μιν κίβισις θέε.

Εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν.] εἶχον δὲ καὶ τὴν κυνῆν. Ὑφηγησαμένων δὲ τῶν Φορκίδων, ἀποδοὺς τόν τε ὀδόντα καὶ τὸν ὀφθαλμὸν αὐταῖς, καὶ παραγενόμενος πρὸς τὰς Νύμφας, καὶ τυχὼν ὧν ἐσπούδαζε, τὴν μὲν κίβισιν περιεβάλετο, τὰ δὲ πέδιλα τοῖς σφυροῖς προσήρμοσε, τὴν δὲ κυνῆν τῇ κεφαλῇ ἐπέθετο· ταύτην ἔχων, αὐτὸς μὲν οὓς ἤθελεν ἔβλεπεν, ὑπὸ ἄλλων δὲ οὐχ ἑωρᾶτο. Λαβὼν δὲ καὶ παρὰ Ἑρμοῦ ἀδαμαντίνην ἅρπην, πετόμενος εἰς τὸν Ὠκεανὸν ἦλθε καὶ κατέλαβε

II, 4. 2. hinc Nymphas,

λάμβα τὰς Γοργόνας κοιμωμένας. ἦσαν δὲ αὗται Σθεννὼ, Εὐρυάλη, Μέδουσα. μόνη δὲ ἦν θνητὴ Μέδουσα· διὰ τοῦτο ἐπὶ τὴν ταύτης κεφαλὴν Περσεὺς ἐπέμφθη. εἶχον δὲ αἱ Γοργόνες κεφαλὰς μὲν περιεστειραμένας φολίσι δρακόντων, ὀδόντας δὲ μεγάλους ὡς συῶν, καὶ χεῖρας χαλκᾶς, καὶ πτέρυγας χρυσᾶς, δι' ὧν ἐπέτοντο· τοὺς δὲ ἰδόντας λίθους ἐποίουν. Ἐπιστὰς οὖν αὐταῖς ὁ Περσεὺς κοιμωμέναις, κατευθυνούσης τὴν χεῖρα Ἀθηνᾶς, ἀπεστραμμένος, καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν, ἐκαρατόμησεν αὐτήν. Ἀποτμηθείσης δὲ τῆς κεφαλῆς, ἐκ τῆς Γοργόνος ἐξέθορε Πήγασος πτηνὸς ἵππος καὶ Χρυσάωρ ὁ Γηρυόνου πατήρ. τούτους δὲ ἐγέννησεν ἐκ Ποσειδῶνος. Ὁ μὲν 3

οὖν

II, 4, 2. ita Gorgonas opprimit. Medusae caput resectum, ex quo Pegasus et Chrysaor prodeunt.

οὖν Περσεὺς ἐνθέμενος εἰς τὴν κίβισιν τὴν κεφαλὴν τῆς Μεδούσης, ὀπίσω πάλιν ἐχώρει· αἱ δὲ Γοργόνες ἐκ τῆς κοίτης ἀναστᾶσαι τὸν Περσέα ἐδίωκον, καὶ συνιδεῖν αὐτὸν οὐκ ἐδύναντο διὰ τὴν κυνῆν, ἀπεκρύπτετο γὰρ ὑπ' αὐτῆς.

Παραγενόμενος δὲ εἰς Αἰθιοπίαν, ἧς ἐβασίλευε Κηφεὺς, εὗρε τὴν τούτου θυγατέρα Ἀνδρομέδαν παρακειμένην βορὰν θαλασσίῳ κήτει. Κασσιέπεια γὰρ ἡ Κηφέως γυνὴ Νηρηΐσιν ἤρισε περὶ κάλλους, καὶ πασῶν εἶναι κρείσσων ηὔχησεν. ὅθεν αἱ Νηρηΐδες ἐμήνισαν· καὶ Ποσειδῶν, αὐταῖς συνοργισθεὶς, πλημμύραν τε ἐπὶ τὴν χώραν ἔπεμψε καὶ κῆτος. Ἄμμωνος δὲ χρήσαντος τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς, ἐὰν ἡ Κασσιεπείας θυγάτηρ Ἀνδρομέδα προτεθῇ τῷ κήτει βορά· τοῦτο ἀναγκασθεὶς ὁ Κηφεὺς ὑπὸ τῶν Αἰθιόπων ἔπραξε, καὶ προσέδησε τὴν θυ-

II, 4, 3. liberata in via.

θυγατέρα πέτρᾳ. ταύτην θεασάμενος ὁ Περσεὺς, καὶ ἐρασθεὶς, ἀναιρήσειν ὑπέσχετο Κηφεῖ τὸ κῆτος, εἰ μέλλει σωθεῖσαν αὐτὴν αὐτῷ δώσειν γυναῖκα. ἐπὶ τούτοις γενομένων ὅρκων, ὑποστὰς τὸ κῆτος ἔκτεινε, καὶ τὴν Ἀνδρομέδαν ἔλυσεν. Ἐπιβουλεύοντος δὲ αὐτῷ Φινέως, ὃς ἦν ἀδελφὸς τοῦ Κηφέως, ἐγγυώμενος πρῶτος τὴν Ἀνδρομέδαν· μαθὼν τὴν ἐπιβουλὴν, τὴν Γοργόνα δείξας, μετὰ τῶν συνεπιβουλευόντων αὐτὸν ἀλίθωσε παραχρῆμα.

Παραγενόμενος δὲ εἰς Σέριφον, καὶ καταλαβὼν προστεφευγυῖαν τοῖς βωμοῖς μετὰ τοῦ Δίκτυος τὴν μητέρα διὰ τὴν Πολυδέκτου βίαν, εἰσελθὼν εἰς τὸν βασιλέα, συγκαλέσαντος τοῦ Πολυδέκτου τοὺς φίλους, ἀπεστραμμένος τὴν κεφαλὴν τῆς Γοργόνος ἔδειξε· τῶν δὲ ἰδόν-

II, 4, 3. Andromeda, Polydecti affert, simulque eum

των, ὁποῖον ἕκαστος ἔτυχε σχῆμα ἔχων, ἀπελιθώθη. Καταστήσας δὲ τῆς Σερίφου Δίκτυν βασιλέα, ἀπέδωκε τὰ μὲν πέδιλα καὶ τὴν κίβισιν καὶ τὴν κυνῆν Ἑρμῇ· τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Ἀθηνᾷ. Ἑρμῆς μὲν οὖν τὰ προειρημένα πάλιν ἀπέδωκε ταῖς Νύμφαις· Ἀθηνᾶ δὲ ἐν μέσῃ τῇ ἀσπίδι τῆς Γοργόνος τὴν κεφαλὴν ἀνέθηκε. Λέγεται δὲ καὶ ὑπ' ἐνίων, ὅτι καὶ δι' Ἀθηνᾶν ἡ Μέδουσα ἐκαρατομήθη· φασὶ δὲ, ὅτι καὶ περὶ κάλλους ἠθέλησεν ἡ Γοργὼ αὐτῇ συγκριθῆναι.

4 Περσεὺς δὲ μετὰ Δανάης καὶ Ἀνδρομέδας ἔσπευδεν εἰς Ἄργος, ἵνα Ἀκρίσιον θεάσηται. ὁ δὲ δεδοικὼς τὸν χρησμὸν, ἀπολιπὼν Ἄργος, εἰς τὴν Πελασγιῶτιν ἐχώρησε γῆν. Τευταμίου δὲ τοῦ

II, 4. 3. in lapidem vertit. Gorgonis caput in clipeo Mineruae constitutum. 4. Acrisium Perseus

τοῦ Δαρισσαίων βασιλέως ἐπὶ κατοιχομένῳ τῷ πατρὶ διατριβόντος γαμικῶν ἀγώνων, παρεγένετο καὶ ὁ Περσεύς, ἀγωνίσασθαι θέλων· ἀγωνιζόμενος δὲ πένταθλον, τὸν δίσκον ἐπὶ τὸν Ἀκρισίου τόδα βαλὼν, παραχρῆμα ἀπέκτεινεν αὐτόν. αἰσθόμενος δὲ τὸν χρησμὸν τετελεσμένον, τὸν μὲν Ἀκρίσιον ἔξω τῆς πόλεως ἔθαψεν· αἰσχυνόμενος δὲ εἰς Ἄργος ἐπανελθεῖν ἐπὶ τὸν πλῆρες τοῦ δι' αὐτοῦ τετελευτηκότος, παραγενόμενος εἰς Τίρυνθα, πρὸς τὸν Προίτου παῖδα Μεγαπένθην ἠλλάξατο, τούτῳ τε τὸ Ἄργος ἐνεχείρισε. καὶ Μεγαπένθης μὲν ἐβασίλευσεν Ἀργείων, Περσεὺς δὲ Τίρυνθος, προστεθείσας Μιδείαν καὶ Μυκήνας. Ἐγένοντο δὲ ἐξ Ἀνδρομέδας 5
παῖδες αὐτῷ· πρῶν μὲν ἐλθεῖν εἰς τὴν Ἑλλάδα, Πέρσης, ὃν παρὰ Κηφεῖ κατ-

ἐλι-

G 3

II, 4, 4. imprudens interimit. Argis Megapenthi concessis, Perseus Tirynthem tenet cum Mideâ et Mycenis. 5. Progenies Persei.

ἔλιπεν· ἀπὸ τούτου δὲ τοὺς Περσῶν βασιλέας λέγεται γενέσθαι· ἐν Μυκήναις δὲ Ἀλκαῖος, καὶ Σθένελος, καὶ Ἔλειος, Μήστωρ τε καὶ Ἡλεκτρύων, καὶ θυγάτηρ Γοργοφόνη, ἣν Περιήρης ἔγημεν.

Πάλιν ἐξ Ἀλκαίου καὶ Ἱππονόμης τῆς Μενοικέως Ἀμφιτρύων ἐγένετο, καὶ θυγάτηρ Ἀνακώ.

Ἐκ δὲ Μήστορος καὶ Λυσιδίκης τῆς Πέλοπος, Ἱππόθη· ταύτην ἁρπάσας Ποσειδῶν, καὶ πομίσας ἐπὶ τὰς Ἐχινάδας νήσους, μίγνυται, καὶ γεννᾷ Τάφιον, ὃς ᾤκισε Τάφον, καὶ τοὺς λαοὺς Τηλεβόας ἐκάλεσεν, ὅτι τηλοῦ τῆς πατρίδος ἔβη.

Ἐκ Ταφίου δὲ καὶ Πτερέλαος ἐγένετο· τοῦτον ἀθάνατον ἐποίησε Ποσειδῶν, ᾧ τῇ κεφαλῇ χρυσᾶν ἐνθεὶς τρίχα. Πτερελάῳ δὲ ἐγένοντο, θυγάτηρ Κομαιθώ, καὶ ἄρρενες παῖδες, Χρόμιος, Τύ-

ραννος,

II, 4, 5. tum Alcaei, Mestoris, Taphii, Pterelai.

ραννος, Ἀντίοχος, Χερσιδάμας, Μήστωρ, Εὐήρης.

Ἠλεκτρύων δὲ γήμας τὴν Ἀλκαίου θυγατέρα Ἀναξὼ, ἐγέννησε θυγατέρα μὲν Ἀλκμήνην, παῖδας δὲ Στρατοβάτην, Γοργοφόνον, Φιλονόμον, Κελαινέα, Ἀμφίμαχον, Λυσίνομον, Χειρόμαχον, Ἀνάκτορα, Ἀρχέλαον· μετὰ δὲ τούτους καὶ νόθον ἐκ Φρυγίας γυναικὸς Μιδέας Λικύμνιον.

Σθενέλον δὲ καὶ Νικίππης τῆς Πέλοπος, Ἀλκινόη καὶ Μέδουσα, ὕστερον δὲ καὶ Εὐρυσθεὺς ἐγένετο, ὃς καὶ Μυκηνῶν ἐβασίλευσεν. ὅτε γὰρ Ἡρακλῆς ἔμελλε γεννᾶσθαι, Ζεὺς ἐν θεοῖς ἔφη, τὸν ἀπὸ Περσέως γεννηθησόμενον τότε βασιλεύειν Μυκηνῶν. Ἥρα δὲ διὰ τὸν ζῆλον Εἰλείθυιαν ἔπειθε, τὸν μὲν Ἀλκμήνης τόκον ἐπισχεῖν, Εὐρυσθέα δὲ τὸν Σθενέλου

II. 4. 5. Electryonis Sthenelli, Eurystheus fata Herculis nascendo occupat.

νέλου παρασκευάσας φανῆναι ἐπαμυνεῖν ὄντα.

6 Ἠλεκτρύονος δὲ βασιλεύοντος Μυκηνῶν, μετὰ Ταφίων οἱ Πτερελάου παῖδες ἐλθόντες τὴν Μήστορος ἀρχὴν τῷ μητροπάτορι ἀπήτουν, καὶ, μὴ προσέχοντος Ἠλεκτρύονος, ἀπήλαυνον τὰς βόας· ἀμυνομένων δὲ τῶν Ἠλεκτρύονος παίδων, ἐκ προλήψεως ἀλλήλους ἀπέκτειναν. ἐσώθη δὲ τῶν Ἠλεκτρύονος παίδων Λικύμνιος ἔτι νέος ὑπάρχων· τῶν δὲ Πτερελάου, Εὐήρης, ὃς καὶ τὰς νεῦς ἐφύλασσε. τῶν δὲ Ταφίων οἱ διαφυγόντες ἀπέπλευσαν τὰς ἁλισθείσας βόας ἐλόντες, καὶ παρέδωντο τῷ βασιλεῖ τῶν Ἠλείων Πολυξένῳ. Ἀμφιτρύων δὲ παρὰ Πολυξένου λυτρωσάμενος αὐτὰς ἤγαγεν εἰς Μυκήνας· ὁ δὲ Ἠλεκτρύων τὸν τῶν παίδων θάνατον βουλόμενος

---

6. Electryonis armenta a Pterelai filiis abiguntur.

μένος ἐκδικῆσαι, παραδοὺς τὴν βασιλείαν Ἀμφιτρύωνι καὶ τὴν θυγατέρα Ἀλκμήνην, ἐξορκίσας ἵνα μέχρι τῆς ἐπανόδου παρθένον αὐτὴν φυλάξῃ, στρατεύειν ἐπὶ Τηλεβόας διενοεῖτο· ἀπολαμβάνοντος δὲ αὐτοῦ τὰς βόας, μιᾶς ἐκθορούσης, Ἀμφιτρύων ἐπ' αὐτὴν ἀφῆκεν, ὃ μετὰ χεῖρας εἶχε, ῥόπαλον, τὸ δὲ ἀποκρουσθὲν ἀπὸ τῶν κεράτων εἰς τὴν Ἠλεκτρύονος κεφαλὴν ἐλθὸν ἀπέκτεινεν αὐτόν· ὅθεν λαβὼν ταύτην τὴν πρόφασιν Σθένελος, παντὸς Ἄργους ἐξέβαλεν Ἀμφιτρύωνα, καὶ τὴν ἀρχὴν τῶν Μυκηνῶν καὶ τῆς Τίρυνθος αὐτὸς κατέσχε· τὴν δὲ Μίδειαν, μεταπεμψάμενος τοὺς Πέλοπος παῖδας Ἀτρέα καὶ Θυέστην, παρέθετο τούτοις.

II, 4, 6. et ab Amphitruone restituta. Is imprudens Electryonem socerum obtruncat, cum Alcmena et Licymnio exulat. Mycenas et Tirynthem Sthenelus tenet.

Ἀμφιτρύων δὲ, σὺν Ἀλκμήνῃ καὶ Λικυμνίῳ παραγενόμενος ἐπὶ Θήβας, ὑπὸ Κρέοντος ἠγνίσθη, καὶ δίδωσι τὴν ἀδελφὴν Περιμήδην Λικυμνίῳ. Λεγούσης δὲ Ἀλκμήνης, φαυλίζεσθαι τῷ τῶν ἀδελφῶν αὐτῆς ἐκδικήσαντι τὸν θάνατον, ὑπεσχόμενος ἐπὶ Τηλεβόας στρατεύειν Ἀμφιτρύων [καὶ] παρεκάλει συλλαβέσθαι. Κρέοντα δὲ ὁ θεὸς, στρατεύσειν, ἐὰν πρότερον ἐκεῖνος τὴν Καδμείαν τῆς ἀλώπεκος ἀπαλλάξῃ. ἘΡΦθειρε γὰρ τὴν Καδμείαν ἀλώπηξ θηρίον ὑποστάντος δὲ, ὅμως εἱμαρμένον ἦν, αὐτὴν μηδέ τινα καταλαβεῖν. ἀθυμουμένης δὲ τῆς χώρας, ἕνα τῶν ἀστῶν παῖδα οἱ Θηβαῖοι κατὰ μῆνα προετίθεσαν αὐτῇ, πολλοὺς ἁρπάζουσα, τοῦτο οὐ μὴ γένοιτο. ἀπαλλαγεὶς οὖν Ἀμφιτρύων εἰς Ἀθήνας πρὸς Κέφαλον τὸν Δηϊονέως,

συγέ-

II, 4. 6. Amphitruo luctatur a Creonte: Vulpem Teumessiam venatur

συνέπεισεν, ἐπὶ μέρει τῶν ἀπὸ Τηλεβοῶν λαφύρων, ἄγειν ἐπὶ τὴν θήραν τὸν κύνα, ὃν Πρόκρις ἤγαγεν ἐκ Κρήτης παρὰ Μίνωος λαβοῦσα· ἦν δὲ καὶ τούτῳ κατηρωμένον, πᾶν, ὅ τι ἂν διώκῃ, λαμβάνειν. Διωκομένης οὖν ὑπὸ τοῦ κυνὸς τῆς ἀλώπεκος, Ζεὺς ἀμφοτέρους λίθους ἐποίησεν.

Ἀμφιτρύων δὲ ἔχων ἐκ μὲν Θορικοῦ τῆς Ἀττικῆς Κέφαλον συμμαχοῦντα, ἐκ δὲ Φωκέων Πάνοπέα, ἐκ δὲ Ἕλους τῆς Ἀργείας Ἔλειον τὸν Περσέως, ἐκ δὲ Θηβῶν Κρέοντα, τὰς τῶν Ταφίων νήσους ἐπόρθει. ἄχρι μὲν οὖν ἔζη Πτερέλαος, οὐκ ἐδύνατο τὴν Τάφον ἑλεῖν· ὡς δὲ ἡ Πτερελάου θυγάτηρ Κομαιθὼ, ἐρασθεῖσα Ἀμφιτρύωνος, τὴν χρυσῆν τρίχα

τοῦ

II, 4, 7. cane Cephali. Aduerſus Teleboas profectus, Pterelai coma aurea, filiae Comaethus impia fraude,

τοῦ πατρὸς ἐκ τῆς κεφαλῆς ἐξείλετο, Πτερελάου τελευτήσαντος, ἐχειρώσατο τὰς νήσους ἁπάσας. τὴν μὲν οὖν Κομαιθὼ κτείνας Ἀμφιτρύων, καὶ τὴν λείαν ἔχων, εἰς Θήβας ἔπλει, καὶ τὰς νήσους Ἐλατῷ καὶ Κεφάλῳ δίδωσι. κἀκεῖνοι πόλεις αὐτῶν ἐκωνύμους κτίσαντες κατῴκησαν.

8 Πρὸ τοῦ δὲ Ἀμφιτρύωνα παραγενέσθαι εἰς Θήβας, Ζεὺς διὰ νυκτὸς ἐλθὼν, καὶ τὴν μίαν τριπλασιάσας νύκτα, ὅμοιος Ἀμφιτρύωνι γενόμενος, Ἀλκμήνῃ συνευνάσθη, καὶ τὰ γενόμενα παρὰ Τηλεβοῶν διηγήσατο. Ἀμφιτρύων δὲ παραγενόμενος, ὡς οὐχ ἑώρα φιλοφρονουμένην πρὸς αὐτὸν τὴν γυναῖκα, ἐπυνθάνετο τὴν αἰτίαν· εἰπούσης δὲ, ὅτι τῇ πρατέρᾳ νυκτὶ παραφενόμενος αὐτῇ συγκεκοίμηται, μανθάνει παρὰ Τειρεσίου τὴν γενομένην τοῦ Διὸς συνουσίαν.

Ἀλκμή-

II, 4, 7. recisi, Echinadas Eleo et Cephalo possidendas tradit. 8. Alcmenæ Ioue compressa.

Ἀλκμήνη δὲ δύο ἐγέννησε παῖδας, Διὶ μὲν Ἡρακλέα, μιᾷ νυκτὶ πρεσβύτερον· Ἀμφιτρύωνι δὲ Ἰφικλέα. τοῦ δὲ παιδὸς ὄντος ἑπταμηνιαίου, δύο δράκοντας ὑπερμεγέθεις Ἥρα ἐπὶ τὴν εὐνὴν ἔπεμψε, διαφθαρῆναι τὸ βρέφος θέλουσα. ἐπιβωμένης δὲ Ἀλκμήνης Ἀμφιτρύωνα, Ἡρακλῆς διαναστὰς ἄγχων ἑκατέραις ταῖς χερσὶν αὐτοὺς διέφθειρε. Φερεκύδης δέ φησιν, Ἀμφιτρύωνα, βουλόμενον μαθεῖν, ὁπότερος ἦν τῶν παίδων ἐκείνου, τοὺς δράκοντας εἰς τὴν εὐνὴν ἐμβαλεῖν, καὶ, τοῦ μὲν Ἰφικλέους φυγόντος, τοῦ δὲ Ἡρακλέους ὑποστάντος, μαθεῖν, ὡς Ἰφικλῆς ἐξ αὐτοῦ γεγέννηται.

Ἐδιδάχθη μὲν Ἡρακλῆς ἁρματηλατεῖν μὲν ὑπὸ Ἀμφιτρύωνος· παλαίειν δὲ ὑπὸ τοῦ Αὐτολύκου· τοξεύειν δὲ ὑπὸ 9

Εὐρύ-

II, 4, 8. Nati ex eo Hercules et Iphicles. Hercules puer necat duos sergentes. 9 Harcalis

Εὐρύτου· ὑπλομαχεῖν δὲ ὑπὸ Κάστορος· πυθαρωδεῖν δὲ ὑπὸ Λίνου. αὐτὸς δὲ ἦν ἀδελφὸς Ὀρφέως, ἀφικόμενος δὲ εἰς Θήβας, καὶ Θηβαῖος γενόμενος, ὑπὸ Ἡρακλέους τῇ κιθάρᾳ πληγεὶς ἀπέθανεν· ἐπιπλήξαντα γὰρ αὐτὸν ὀργισθεὶς ἀπέκτεινε. δίκην δὲ ἐπαγόντων τινῶν αὐτῷ Φόνου, παρανόμων νόμων Ῥαδαμάνθυος λέγοντος· ὃς ἂν ἀμύνηται τὸν χειρῶν ἀδίκων ἄρξαντα, ἀθῷον εἶναι· καὶ οὕτως ἀπελύθη.

Δείσας δὲ Ἀμφιτρύων, μὴ πάλιν τι τοιήσῃ τοιοῦτον, ἔπεμψεν αὐτὸν εἰς τὰ βουφόρβια· κἀκεῖ τρεφόμενος μεγέθει τε καὶ ῥώμῃ πάντων διήνεγκεν.

Ἦν δὲ καὶ θεωρηθεὶς Φοβερὸς, ὅτι παῖς Διὸς ἦν. τετραπηχυαῖον μὲν γὰρ εἶχε τὸ σῶμα· πυρὸς δὲ ἐξ ὀμμάτων ἔλαμπεν αἴγλην· οὐκ ἠστόχει δὲ οὔτε τοξεύων, οὔτε ἀκοντίζων.

Ἐν

II, 4, 9. inflitutio. Species eius corporis.

Ἐν δὲ τοῖς βουκολίοις ὑπάρχων ὀκτωκαιδεκαέτης, τὸν Κιθαιρώνειον συλλαμβάνει λέοντα. οὗτος ὑρμώμενος ἐκ τοῦ Κιθαιρῶνος τὰς Ἀμφικτύονας ἐφθειρε βόας καὶ τὰς Θεστίου βασιλεύς δὲ ἦν αὐτὸς Θεσπιῶν. πρὸς ὃν ἀφίκετο Ἡρακλῆς, ἀλεῖν βουλόμενος τὸν λέοντα· ὁ δὲ αὐτὸν ἐξένισε πεντήκοντα ἡμέρας, καὶ ἐπὶ τὴν θήραν ἐξιόντι νυκτὸς ἑκάστης μίαν συνεύναζε θυγατέρα. πεντήκοντα δὲ αὐτῷ ἦσαν ἐκ Μεγαμήδης γεγεννημέναι τῆς Ἀρναίου. ἐσπούδαζε γὰρ πάσας ἐξ Ἡρακλέους τεκνοποιήσασθαι. Ἡρακλῆς δὲ, μίαν νομίζων εἶναι τὴν ἀεὶ συνευναζομένην, συνῆλθε πάσαις. καὶ χειρωσάμενος τὸν λέοντα, τὴν μὲν δορὰν ἀμφιέσατο, τῷ χάσματι δὲ ἐχρήσατο κόρυθι.

Ἀνακάμπτοντι δὲ αὐτῷ ἀπὸ τῆς θήρας συν-

II, 4, 9-10. Leonem in monte Cithaerone necat. Thestiadas L. grauidas facit. 11. Thebas

συνήντησαν κήρυκες παρὰ Ἐργίνου πεμφθέντες, ἵνα παρὰ Θηβαίων τὸν δασμὸν λάβωσιν. ἐτέλουν δὲ οἱ Θηβαῖοι τὸν δασμὸν Ἐργίνῳ δι' αἰτίαν τήνδε· Κλύμενον τὸν Μινυῶν βασιλέα λίθῳ βαλὼν Μενοικέως ἡνίοχος, ὄνομα Περιήρης, ἐν Ὀγχηστῷ, Ποσειδῶνος τεμένει, τιτρώσκει· ὁ δὲ κομισθεὶς εἰς Ὀρχομενὸν ἠμύνης, ἐπισκήπτει τελευτῶν Ἐργίνῳ τῷ παιδὶ ἐκδικῆσαι τὸν θάνατον αὐτοῦ. Στρατευσάμενος δὲ Ἐργῖνος ἐπὶ Θήβας, κτείνας οὐκ ὀλίγους, ἐσπείσατο μεθ' ὅρκων, ὅπως πέμπωσιν αὐτῷ Θηβαῖοι δασμὸν, ἐπὶ εἴκοσιν ἔτη, κατὰ ἔτος ἑκατὸν βόας. ἐπὶ τούτου τὸν δασμὸν τοὺς κήρυκας εἰς Θήβας ἀπιόντας, συντυχὼν, Ἡρακλῆς ἐλωβήσατο· ἀποταμὼν γὰρ αὐτῶν τὰ ὦτα καὶ τὰς ῥῖνας, καὶ διὰ σχοινίων τὰς χεῖρας δήσας ἐκ τῶν τραχήλων, ἔφη τοῦτον Ἐργίνῳ καὶ Μι-

---

II, 4, 11. a tributo Ergino perfoluendo liberat.

Μινύαις δασμὸν κομίζειν. ἐφ' οἷς ἀγανακτῶν ἐστράτευσεν ἐπὶ Θήβας. Ἡρακλῆς δὲ, λαβὼν ὅπλα παρ' Ἀθηνᾶς καὶ πολεμαρχῶν, Ἐργῖνον μὲν ἔκτεινε· τοὺς δὲ Μινύας ἐτρέψατο, καὶ τὸν δασμὸν διπλοῦν ἠνάγκασε Θηβαίοις φέρειν. Συνέβη δὲ κατὰ μάχην Ἀμφιτρύωνα γενναίως μαχόμενον τελευτῆσαι. Λαμβάνει δὲ Ἡρακλῆς παρὰ Κρέοντος ἀριστεῖον τὴν πρεσβυτάτην θυγατέρα Μέγαραν· ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο τρεῖς, Θηρίμαχος, Κρεοντιάδης, Δηϊκόων· τὴν δὲ νεωτέραν θυγατέρα Κρέων Ἰφίκλῳ δίδωσιν, ἤδη παῖδα Ἰόλαον ἔχοντι ἐξ Αὐτομεδούσης τῆς Ἀλκάθου. Ἔγημε δὲ καὶ Ἀλκμήνην μετὰ τὸν Ἀμφιτρύωνος θάνατον Διὸς παῖς Ῥαδάμανθυς, κατῴκει δὲ ἐν Ὠκαλείᾳ τῆς Βοιωτίας πεφευγώς.

Προ-

II, 4, 11. Hercules Megaram ducit vxorem;

Προμαθὼν δὲ παρ' Εὐρύτου τὴν τοξικὴν Ἡρακλῆς, ἔλαβε παρὰ Ἑρμοῦ μὲν ξίφος, παρ' Ἀπόλλωνος δὲ τόξα, παρὰ Ἡφαίστου θώρακα χρυσοῦν, παρὰ δὲ Ἀθηνᾶς πέπλον· ῥόπαλον μὲν γὰρ αὐτὸς ἔτεμεν ἐκ Νεμέας.

12 Μετὰ δὲ τὴν πρὸς Μινύας αὐτῷ μάχην συνέβη κατὰ ζῆλον Ἥρας μανῆναι, καὶ τούς τε ἰδίους παῖδας, οὓς ἐκ Μεγάρας εἶχεν, εἰς πῦρ ἐμβαλεῖν, καὶ τῶν Ἰφίκλου δύο· διὸ καταδικάσας ἑαυτοῦ φυγήν, καθαίρεται μὲν ὑπὸ Θεστίου.

Παραγενόμενος δὲ εἰς Δελφοὺς, πυθέσθαι τοῦ θεοῦ, ποῦ κατοικήσει. ἡ δὲ Πυθία τότε πρῶτον Ἡρακλέα αὐτὸν προσηγόρευσε· τὸ δὲ πρῶτον Ἀλκαίδης προσηγορεύετο. κατοικεῖν δὲ αὐτὸν εἶπεν ἐν Τίρυνθι, Εὐρυσθεῖ λατρεύον-

---

II, 4. 11. arma a diis accipit, 12. insanit, a caede liberorum liberatur. Apollinis

τρεύοντα ἔτη δώδεκα, καὶ τοὺς ἐπιτασσομένους ἄθλους δώδεκα ἐπιτελεῖν, καὶ οὕτω, ἔφη, τῶν ἄθλων συντελεσθέντων, ἀθάνατον αὐτὸν ἔσεσθαι.

Τοῦτο ἀκούσας ὁ Ἡρακλῆς, εἰς Τίρυνθα ἦλθε, καὶ τὸ προσταττόμενον ὑπὸ Εὐρυσθέως ἐτέλει. Πρῶτον μὲν οὖν ἐπέταξεν αὐτῷ, τοῦ Νεμέου λέοντος τὴν δορὰν κομίζειν. τοῦτο δὲ ζῶον ἦν ἄτρωτον, ἐκ Τυφῶνος γεγεννημένον. πορευόμενος οὖν ἐπὶ τὸν λέοντα, εἰς Κλεωνὰς ἦλθε, καὶ ξενίζεται παρὰ ἀνδρὶ χερνήτῃ Μολόρχῳ. καὶ θύειν ἱερεῖον θέλοντι εἰς ἡμέρων ἔφη τηρεῖν τριακοστήν· καὶ ἂν μὲν ἀπὸ τῆς θήρας σῶος ἐπανέλθῃ, Διὶ Σωτῆρι θύειν· ἐὰν δὲ ὑποθάνῃ, τότε ὡς ἥρωι ἐναγίζειν. εἰς δὲ τὴν Νεμέαν ἀφικόμενος, καὶ Cap. V, 1

H 2

II, 4, 12. iussu XII. labores ab Eurystheo imponi sibi patitur.

II, 5, 1. Leonem

καὶ τὸν λέοντα μαστεύσας ἐτόξευσε πρῶτον· ὡς δὲ ἔμαθεν ἄτρωτον ὄντα, ἀνατεινάμενος τὸ ῥόπαλον ἐδίωκε· συμφυγόντος δὲ εἰς ἀμφίστομον σπήλαιον αὐτοῦ, τὴν ἑτέραν ἀπῳκοδόμησεν εἴσοδον, διὰ δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ, καὶ περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ, κατέσχεν ἄγχων, ἕως ἔπνιξε· καὶ θέμενος ἐπὶ τῶν ὤμων, ἐκόμιζεν εἰς Μυκήνας. καταλαβὼν δὲ τὸν Μόλορχον ἐν τῇ τελευταίᾳ τῶν ἡμερῶν ὡς νεκρῷ μέλλοντα τὸ ἱερεῖον ἐναγίζειν, Σωτῆρι θύσας Διΐ, ἦγεν εἰς Μυκήνας τὸν λέοντα.

Εὐρυσθεὺς δὲ, καταλαβὼν αὐτοῦ τὴν ἀνδρίαν, ἀπείπατο λοιπὸν αὐτῷ εἰς τὴν πόλιν εἰσιέναι, δεικνύειν δὲ πρὸ τῶν πυλῶν ἐκέλευε τοὺς ἄθλους. Φασὶ δὲ, ὅτι δείσας καὶ πίθον αὐτῷ χαλκοῦν εἰσκρυβῆναι ὑπὸ γῆς κατεσκεύασε, καὶ

II, 5, 1. Nemeum elidit. Eurysthei

καὶ πέμπων κήρυκα Κυπρέα, Πέλοπος τοῦ Ἠλείου, ἐπέταττε τοὺς ἄθλους· οὗτος δὲ Ἴφιτον κτείνας, Φυγὼν εἰς Μυκήνας, καὶ τυχὼν παρ' Εὐρυσθέως καθαρσίων, ἐκεῖ κατῴκει.

Δεύτερον δὲ ἄθλον ἐπέταξεν αὐτῷ 2
τὴν Λερναίαν ὕδραν κτεῖναι· αὕτη δὲ ἐν τῷ τῆς Λέρνης ἕλει ἐκτραφεῖσα, ἐξ-
έβαινεν εἰς τὸ πεδίον, καὶ τά τε βοσκή-
ματα καὶ τὴν χώραν διέφθειρεν. Εἶχε
δὲ ἡ ὕδρα ὑπερμεγέθες σῶμα, κεφαλὰς
ἔχον ἐννέα· τὰς μὲν ἐπὶ θνητὰς, τὴν
δὲ μέσην ἀθάνατον. Ἐπιβὰς οὖν ἅρμα-
τος, ἡνιοχοῦντος Ἰολάου, παρεγένετο
εἰς τὴν Λέρνην· καὶ τοὺς μὲν ἵππους
ἔστησε· τὴν δὲ ὕδραν εὑρὼν ἔν τινι
λόφῳ παρὰ τὰς πηγὰς τῆς Ἀμυμώνης,
ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε, βα-
λὼν βέλεσι πεπυρωμένοις ἠνάγκασεν

II. 5. 1. Ignibus mensa. 2. Hydram Lernaeam necat Hercules

ἐξαλθεῖν. ἐκβαινουσαν δὲ αὐτὴν πρατῆσας κατεῖχεν· ἡ δὲ θατέρῳ τῶν ποδῶν ἀναίχατο περιπλακεῖσα. τῷ ῥοπάλῳ δὲ τὰς κεφαλὰς κόπτων, οὐδὲν ἀνύειν ἐδύνατο· μιᾶς γὰρ κοπτομένης κεφαλῆς, δύο ἀναφύοντο· ἐκβοήθει δὲ καρκῖνος τῇ ὕδρᾳ ὑπερμεγέθης, φάκινον τὸν πόδα· διὸ [τοῦτον ἀποκτείνας ἐπικαλέσατο καὶ αὐτὸς βοηθὸν τὸν Ἰόλαον, ὃς, μέρος τι πατακρήσας τῆς ἐγγὺς ὕλης, τοῖς δαλοῖς ἐπικαίων τὰς ἀνατολὰς τῶν ἀναφυομένων κεφαλῶν, ἐκώλυεν ἀνιέναι. Κατὰ ταῦτον τὸν τρόπον τῶν ἀναφυομένων κεφαλῶν πυριγενόμενος, τὴν ἀθάνατον ἀποκόψας κατώρυξε, καὶ βαρεῖαν ἐπέθηκε πέτραν, παρὰ τὴν ὁδὸν τὴν φέρουσαν διὰ Λέρνης εἰς Ἔλεοῦντα· τὸ δὲ σῶμα τῆς ὕδρας ἀνασχίσας, τῇ χολῇ τοὺς ὀϊστοὺς ἔβαψεν. Εὐρυσθεὺς δὲ ἔφη, μὴ δεῖν να-

II. 5. 2. cum Cancro.

καταριθμῆσαι ἐν τοῖς δυώδεκα τὸν ἄθλον· οὐ γὰρ μόνος, ἀλλὰ καὶ μετὰ Ἰολάου, τῆς ὕδρας περιεγένετο.

Τρίτον ἆθλον ἐπέταξεν αὐτῷ, τὴν 3
Κερυνῖτιν ἔλαφον εἰς Μυκήνας ἔμπνουν ἐνεγκεῖν. ἦν δὲ ἡ ἔλαφος ἐν Οἰνόῃ, χρυσόκερως, Ἀρτέμιδος ἱερά· διὸ καὶ βουλόμενος αὐτὴν Ἡρακλῆς μήτε ἀνελεῖν μήτε τρῶσαι, συνεδίωξεν ὅλον ἐνιαυτόν. ἐπεὶ δὲ κάμνον τὸ θηρίον τῇ διώξει συνέφυγεν εἰς ὄρος τὸ λεγόμενον Ἀρτεμίσιον, κἀκεῖθεν ἐπὶ ποταμὸν Λάδωνα· καὶ τοῦτον διαβαίνειν μέλλουσαν τοξεύσας συνέλαβε, καὶ θέμενος ἐπὶ τῶν ὤμων διὰ τῆς Ἀρκαδίας ἤπειγετο. μετὰ Ἀπόλλωνος δὲ Ἄρτεμις συντυχοῦσα ἀφῃρεῖτο, καὶ τὸ ἱερὸν ζῷον αὐτῆς κτείναντα κατεμέμφετο. ὁ δὲ, ὑποτιμησάμενος τὴν ἀνάγκην, καὶ τὸν αἴτιον εἰπὼν Εὐρυσθέα γεγονέναι,

II, 5, 2. Iolai operi visa. 3. Cervam Cerynitin

πραΰνας τὴν ὀργὴν τῆς θεοῦ, τὸ θηρίον ἐκόμισεν ζῶν εἰς Μυκήνας.

4 Τέταρτον ἆθλον ἐπέταξεν αὐτῷ τὸν Ἐρυμάνθιον κάπρον ζῶντα κομίζειν. τοῦτο δὲ τὸ θηρίον ἠδίκει τὴν Ψωφίδα, ὁρμώμενον ἐξ ὄρους, ὃ καλοῦσιν Ἐρύμανθον. διερχόμενος οὖν Φολόην ἐπιξενοῦται Κενταύρῳ Φόλῳ, Σιληνοῦ καὶ Νύμφης Μελίας παιδί· οὗτος Ἡρακλεῖ μὲν ὀπτὰ παρεῖχε τὰ κρέα, αὐτὸς δὲ ὠμοῖς ἐχρῆτο. αἰτοῦντος δὲ οἶνον Ἡρακλέους, ἔφη δεδοικέναι τὸν κοινὸν τῶν Κενταύρων ἀνοίξαι πίθον· θαρρεῖν δὲ παρακελευσάμενος Ἡρακλῆς, αὐτὸν ἤνοιξε, καὶ μετ' οὐ πολὺ διὰ τῆς ὀσμῆς αἰσθόμενοι παρῆσαν οἱ Κένταυροι πέτραις ὡπλισμένοι καὶ ἐλάταις ἐπὶ τὸ τοῦ Φόλου σπήλαιον. τοὺς μὲν οὖν πρώτους τολμήσαντας εἴσω παρελθεῖν Ἄγχιον καὶ Ἄγριον Ἡρακλῆς ἐτρέψατο βαλὼν

II. 5. 3. capit 4. et aprem Erymanthium. Cen-

βαλὼν δακεῖς· τοὺς δὲ λοιποὺς ἐτόξευσε διώκων ἄχρι τῆς Μαλέας. ἐκεῖθεν δὲ πρὸς Χείρωνα συνέφυγον, ὃς, ἐξελαθεὶς ὑπὸ Λαπιθῶν ὄρους Πηλίου, παρὰ Μαλέαν κατῴκησε· τούτῳ περιπεπτωκότας τοὺς Κενταύρους ταξεύων ἵησι βέλος, τὸ δὲ ἐνεχθὲν Ἐλάτου διὰ τοῦ βραχίονος τὸ γόνας τοῦ Χείρωνος ἐμπήγνυται. ἀνιαθεὶς δὲ Ἡρακλῆς, προσδραμὼν τό τε βέλος ἐξείλκυσε, καὶ, θύοντος Χείρωνος, Φάρμακον ἐπέθηκεν· ἀνίατον ἔχων τὸ ἕλκος εἰς τὸ σπήλαιον ἀλλάσσεται, κἀκεῖ τελευτῆσαι βουλόμενος, καὶ μὴ δυνάμενος, ἐπείπερ ἀθάνατος ἦν. ἀντιδόντος δὲ Διὶ Προμηθέως τὸν ἀεὶ αὐτοῦ γενησόμενον ἀθάνατον, οὕτως ἀπέθανε. Οἱ λοιποὶ δὲ τῶν Κενταύρων φεύγουσιν ἄλλος ἀλλαχῆ· καί τινες μὲν παρεγένοντο εἰς ὄρος Μαλέαν, Εὐρυτίων δὲ εἰς Φολόην, Νέσσος δὲ ἐπὶ

II, 5, 4. tauros fugat. Chiron perit

ποταμὸν Εὔηνον· τοὺς δὲ λοιποὺς ὑπο-
δεξάμενος Ποσειδῶν εἰς Ἐλευσῖνα ὄρος
κατεκάλυψεν. Ἐπανελθὼν δὲ εἰς Φολό-
ην Ἡρακλῆς, καὶ Φόλον τελευτῶντα
θεασάμενος μετὰ καὶ ἄλλων πολλῶν.
ἑλκύσας τε ἐκ νεκροῦ τὸ βέλος, ἐθαύ-
μαζεν, εἰ τοὺς τηλικούτους τὸ μικρὸν
διέφθειρε· τὸ δὲ τῆς χειρὸς ὀλισθῆσαν
ἦλθεν ἐπὶ τὸν πόδα, καὶ παραχρῆμα
ἀπέκτεινεν αὐτόν. Θάψας δὲ Φόλον
Ἡρακλῆς, ἐπὶ τὴν τοῦ κάπρου θήραν
παραγίνεται, καὶ, διώξας αὐτὸν ἐκ τε-
γους λόχμης μετὰ κραυγῆς εἰς χιόνα
πολλὴν, παρειμένον ἐμβροχίσας τε,
ἀκόμισεν εἰς Μυκήνας.

5 Πέμπτον μὲν ἐπέταξεν αὐτῷ ἆθλον,
τῶν Αὐγέου βοσκημάτων ἐν ἡμέρᾳ μιᾷ
μόνον ἐκφορῆσαι τὴν ὅνθον· ἦν δὲ
Αὐγέας βασιλεὺς Ἤλιδος, ὡς μέν τι-
νες εἶπον, παῖς Ἡλίου, ὡς δέ τινες,
Πο-

II. 5. 4. et Pholus. 5. Augeae

Ποσειδῶνος, οἱ δὲ ἕνιοι, Φόρβαντος· πολλὰς δὲ εἶχε βοσκημάτων τοίμνας. τούτῳ προσελθὼν Ἡρακλῆς, οὐ δηλώσας τὴν Εὐρυσθέως ἐπιταγὴν, ἔφασκε μιᾷ ἡμέρᾳ τὴν ὄνθον ἐκφορήσειν, εἰ δώσει τὴν δεκάτην αὐτῷ τῶν βοσκημάτων. Αὐγέας δὲ ἀπιστῶν ὑπισχνεῖται. μαρτυρούμενος δὲ Ἡρακλῆς τὸν Αὐγέου παῖδα Φυλέα, τῆς τε αὐλῆς τὸ θεμέλιον διεῖλε, καὶ τὸν Ἀλφειὸν ποταμὸν καὶ τὸν Πηνειὸν σύναγγυς ῥέοντας παραχειτεύσας ἐπήγαγεν, ἔκρουν δι' ἄλλης ἐξόδου ποιήσας. μαθὼν δὲ Αὐγέας, ὅτι κατ' ἐπιταγὴν Εὐρυσθέως τοῦτο ἐπιτετέλεσται, τὸν μισθὸν οὐκ ἀπεδίδου, πρόσθετι δὲ ἠρνεῖτο καὶ μισθὸν ὑποσχέσθαι δώσειν, καὶ κρίνεσθαι περὶ τούτου ἕτοιμος ἔλεγεν εἶναι. καθεζομένων δὲ τῶν δικαστῶν, κληθεὶς ὁ Φυλεὺς ὑπὸ Ἡρακλέους τοῦ πατρὸς κατεμαρτύρησεν, εἰπὼν,

---

II, 5, 5. ſtabulum

εἰπὼν, ὁμολογῆσαι μισθὸν δώσειν αὐτῷ. ὀργισθεὶς δὲ Αὐγέας, πρὶν τὴν ψῆφον ἐνεχθῆναι, τόν τε Φυλέα καὶ τὸν Ἡρακλέα βαλλίζειν ἐξ Ἤλιδος ἐκέλευσε. Φυλεὺς μὲν οὖν εἰς Δουλίχιον ἦλθε, κἀκεῖ κατῴκει· Ἡρακλῆς δὲ εἰς Ὤλενον πρὸς Δεξαμενὸν ἦκε, κἀκεῖ κατῴκει, καὶ κατέλαβε τοῦτον μέλλοντα δι' ἀνάγκην μνηστεύειν Εὐρυτίωνι Κενταύρῳ Μνησιμάχην τὴν θυγατέρα· ὑφ' οὗ παρακληθεὶς βοηθεῖν, ἐλθόντα ἐπὶ τὴν νύμφην Εὐρυτίωνα ἀπέκτεινεν. Εὐρυσθεὺς δὲ οὐδὲ τοῦτον ἐν τοῖς δώδεκα προσεδέξατο ἄθλον, λέγων, ἐπὶ μισθῷ πεπραχέναι.

6 Ἕκτον ἐπέταξεν ἆθλον αὐτῷ τὰς Στυμφαλίδας ὄρνιθας ἐκδιῶξαι. ἦν δὲ ἐν Στυμφάλῳ πόλει τῆς Ἀρκαδίας Στυμφαλὶς λεγομένη λίμνη, πολλῇ συνηρεφὴς ὕλῃ· εἰς ταύτην ὄρνεις συνέφυγον

II, 5, 5. expurgat. 6. Stymphalides

φυγον ἄπλετοι, τὴν ἀπὸ τῶν λύκων ἁρπαγὴν δεδοικυῖαι. ἀμηχανοῦντος οὖν Ἡρακλέους, πῶς ἐκ τῆς ὕλης τὰς ὄρνιθας ἐκβάλῃ, χάλκεα κρόταλα δίδωσιν αὐτῷ Ἀθηνᾶ παρὰ Ἡφαίστου λαβοῦσα, ταῦτα κρούων ἐπί τινος ὄρους τῇ λίμνῃ παρακειμένου τὰς ὄρνιθας ἐφόβει· αἱ δὲ τὸν δοῦπον οὐχ ὑπομένουσαι, μετὰ δέους ἀνίπταντο, καὶ τοῦτον τὸν τρόπον Ἡρακλῆς ἐτόξευσεν αὐτάς.

Ἕβδομον ἐπέταξεν ἆθλον τὸν Κρῆτα ἀγαγεῖν ταῦρον. τοῦτον Ἀκουσίλαος μὲν εἶναι φησὶ τὸν διαπορθμεύσαντα Εὐρώπην Διί· τινὲς δὲ τὸν ὑπὸ Ποσειδῶνος ἀναδοθέντα ἐκ θαλάσσης, ὅτι καταθύσειν Ποσειδῶνι Μίνως εἶπε τὸ φανὲν ἐκ τῆς θαλάσσης. καὶ φασὶ, θεασάμενον αὐτὸν τοῦ ταύρου τὸ κάλλος, τοῦτον μὲν εἰς τὰ βουκόλια ἀποπέμψαι, θῦσαι δὲ ἄλλον Ποσειδῶνι· 7

ἐφ'

II, 5, 6. fugat. 7. Taurum Cretensem

ἐφ' οἷς ὀργισθέντα τὸν θεὸν ἀγριῶσαι τὸν ταῦρον. ἐπὶ τοῦτον παραγενόμενον εἰς Κρήτην Ἡρακλῆς, ἐπειδὴ λαβεῖν ἠξίου, Μίνως εἶπεν αὐτῷ λαμβάνειν διαγωνισαμένῳ. καὶ λαβὼν πρὸς Εὐρυσθέα διακομίσας ἔδειξε, καὶ τὸ λοιπὸν ἔλυσεν ἄνετον· ὁ δὲ πλανηθεὶς Σπάρτην τε καὶ Ἀρκαδίαν ἅπασαν, καὶ διαβὰς τὸν Ἰσθμὸν εἰς Μαραθῶνα τῆς Ἀττικῆς ἀφικόμενος, τοὺς ἐγχωρίους διελυμαίνετο.

8 Ὄγδοον ἄθλον ἐπέταξεν αὐτῷ τὰς Διομήδους τοῦ Θρᾳκὸς ἵππους εἰς Μυκήνας κομίζειν. ἦν δὲ οὗτος Ἄρεος καὶ Κυρήνης, βασιλεὺς Βιστόνων ἔθνους Θρᾳκίου καὶ μαχιμωτάτου· εἶχε δὲ ἀνθρωποφάγους ἵππους. Πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων, βιασάμενος τοὺς ἐπὶ ταῖς φάτναις τῶν ἵππων ὑπάρχοντας, ἤγαγεν ἐπὶ τὴν θάλασ-

---

II. 5, 7. domat. 8. Diomedis

λασσαν. τῶν δὲ Βιστόνων σὺν ὅπλοις ἐπιβοηθούντων, τὰς μὲν ἵππους παρέδωκαν Ἀβδήρῳ φυλάσσειν· οὗτος δὲ ἦν Ἑρμοῦ παῖς, Λοκροῦ ἐξ Ὀπουντος, Ἡρακλέους ἐρώμενος, ὃν αἱ ἵπποι διέφθειραν ἐπισπασάμεναι. Πρὸς δὲ τοὺς Βίστονας διαγωνισάμενος, καὶ Διομήδην ἀποκτείνας, τοὺς λοιποὺς ἠνάγκαζε φεύγειν, καὶ κτίσας πόλιν Ἄβδηρον παρὰ τὸν τάφον τοῦ διαφθαρέντος Ἀβδήρου, τὰς ἵππους κομίσας Εὐρυσθεῖ ἔδωκε· μαθόντος δὲ αὐτὰς Εὐρυσθέως, εἰς τὸ λεγόμενον ὄρος Ὄλυμπον ἐλθοῦσαι πρὸς τῶν θηρίων ἀπώλοντο.

Ἔννατον ἆθλον Ἡρακλεῖ ἐπέταξε, ζωστῆρα κομίζειν τὸν Ἱππολύτης. αὕτη δὲ ἐβασίλευεν Ἀμαζόνων, αἳ κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμὸν, ἔθνος μάχιμον τὰ κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρίαν·

9

II, 5, 8. equos addacit. 9. Hippolytem

δρίαν· καὶ εἴποτε μιγεῖσαι γεννήσειαν, τὰ θήλεα ἔτρεφον, καὶ τοὺς μὲν δεξιοὺς μαστοὺς ἐξέθλιβον, ἵνα μὴ κωλύωνται ἀκοντίζειν· τοὺς δὲ ἀριστεροὺς εἴων, ἵνα τρέφοιεν. Εἶχε δὲ Ἱππολύτη τὸν Ἄρεος ζωστῆρα, σύμβολον τοῦ πρωτεύειν ἁπασῶν. ἐπὶ τοῦτον τὸν ζωστῆρα Ἡρακλῆς ἐπέμπετο, λαβεῖν αὐτὸν ἐπιθυμούσης τῆς Εὐρυσθέως θυγατρὸς Ἀδμήτης. Παραλαβὼν οὖν ἐθελοντὰς συμμάχους, ἐν μιᾷ νηῒ ἔπλει, καὶ προσίσχει νήσῳ Πάρῳ, ἣν κατῴκουν οἱ Μίνωος υἱοὶ Εὐρυμέδων, Χρύσης, Νηφαλίων, Φιλόλαος. ἀπὸ πάντων τῶν ἐν νηῒ δύο συνέβη τελευτῆσαι ὑπὸ τῶν Μίνωος υἱῶν· ὑπὲρ ὧν ἀγανακτῶν Ἡρακλῆς, τούτους μὲν παραχρῆμα ἀπέκτεινε· τοὺς δὲ λοιποὺς κατακλείσας ἐπολιόρκει, ἕως ἐπιπρεσβευσάμενοι παρεκάλουν ἀντὶ τῶν ἀναιρε-

II, 5, 9. balteo

ρεθέντων δύο λαβεῖν, οὓς ἂν αὐτὸς θελήσειεν. ὁ δὲ λύσας τὴν πολιορκίαν, καὶ τοὺς Ἀνδρόγεω τοῦ Μίνωος υἱοὺς ἀνελόμενος Ἀλκαῖον καὶ Σθένελον, ἦκεν εἰς Μυσίαν πρὸς Λύκον τὸν Δασκύλου; καὶ ξενισθεὶς ὑπὸ * * * τοῦ Βεβρύκων βασιλέως συμβαλόντων, βοηθῶν Λύκῳ πολλοὺς ἀπέκτεινε, μεθ' ὧν καὶ τὸν βασιλέα Μύγδονα ἀδελφὸν Ἀμύκου, καὶ τὴν Βεβρύκων πόλιν ἀποτεμόμενος, γῆν ἔδωκε Λύκῳ· ὁ δὲ πᾶσαν ἐκείνην ἐκάλεσεν Ἡράκλειαν.

Καταπλεύσαντος δὲ εἰς τὸν ἐν Θεμισκύρᾳ λιμένα, παραγενομένης ὡς αὐτὸν Ἱππολύτης, καὶ, τίνος ἥκοι χάριν, πυθομένης, καὶ δώσειν τὸν ζωστῆρα ὑπισχνουμένης, Ἥρα μιᾷ τῶν Ἀμαζόνων εἰκασθεῖσα τὸ πλῆθος ἐπεφοίτα, λέγουσα· τὴν βασιλίδα ἁρπάζουσιν οἱ προσ-

II. 5. 9. spoliat

προσελθόντας ξένοι, οἱ δὲ μεθ' ὅπλων ἐπὶ τὴν ναῦν κατέθεον τὺν ἵπποις· ὡς δὲ οἶδεν αὐτὰς καθωπλισμένας Ἡρακλῆς, νομίσας ἐκ δόλου τοῦτο γενέσθαι, τὴν μὲν Ἱππολύτην κτείνας, τὸν ζωστῆρα ἀφαιρεῖται· πρὸς δὲ τὰς λοιπὰς ἀνωτισάμενος ἀποπλεῖ, καὶ προσίσχει Τροίᾳ.

Συνεβεβήκει δὲ τότε κατὰ μῆνιν Ἀπόλλωνος καὶ Ποσειδῶνος ἀτυχεῖν τὴν πόλιν. Ἀπόλλων γὰρ καὶ Ποσειδῶν, τὴν Λαομέδοντος ὕβριν πειράσαι θέλοντες, εἰκασθέντες ἀνθρώποις, ὑπέσχοντο ἐπὶ μισθῷ τειχιεῖν τὸ Πέργαμον· τοῖς δε τειχίσασι τὸν μισθὸν οὐκ ἀποδίδου. διὰ τοῦτο Ἀπόλλων μὲν λοιμὸν ἔπεμψε· Ποσειδῶν δὲ κῆτος ἀναφερόμενον ὑπὸ πλημμυρίδος, ὃ τοὺς ἐν τῷ πεδίῳ συνήρπαζεν ἀνθρώπους. Χρησμῶν δὲ λεγόντων, ἀπαλλαγὴν ἔσεσθαι

II, 5, 9. Hesionen

σθαι τῶν συμφορῶν, δοὺς προθῆ Λαομέδοντα Ἡσιόνην τὴν θυγατέρα αὐτοῦ βορὰν κήτει· ὁ δὲ προύθηκε καὶς πλησίον τῆς θαλάσσης πέτρας προσαρτήσας. Ταύτην ἰδὼν ἐκκειμένην Ἡρακλῆς, ὑπέσχετο σώσειν αὐτὴν, εἰ τοὺς ἵππους παρὰ Λαομέδοντος λήψεται, ἃς ὁ Ζεὺς ἀντὶ τῆς Γανυμήδους ἀρπαγῆς ἔδωκεν· δώσειν δὲ Λαομέδοντος εἰπόντος, κτείνας τὸ κῆτος Ἡσιόνην ἔσωσε. μὴ βουλομένου δὲ τὸν μισθὸν ἀποδοῦναι, πολεμήσειν Τρωΐαν ἀπειλήσας ἀνήχθη, καὶ προσίσχει Αἶνῳ.

Ἔνθα ξενίζεται ὑπὸ Πόλτυος. ἀποπλέων δὲ, ἐπὶ ἤϊόνος τῆς Αἰνίας Σαρπηδόνα, Ποσειδῶνος μὲν υἱὸν, ἀδελφὸν δὲ Πόλτυος, ὑβριστὴν ὄντα, τοξεύσας ἀπέκτεινε. Καὶ παρακινδυνεύσας εἰς Θάσον, καὶ χειρωσάμενος τοὺς ἐνοικοῦντας

I 2 Θρᾷ-

II, 5. 9. liberat. Sarpedonem, Poltyis fratrem, et Protei filios occidit. Thasum

Θρᾴκης, ἔδωκε τοῖς Ἀνδρόγεω παισὶ κατοικεῖν. Ἐκ Θεσσαλίας δὲ ὁρμηθεὶς ἐπὶ Τροιζῆνα, Πολυγόνου καὶ Τηλέγονον, τοὺς Πρωτέως τοῦ Ποσειδῶνος υἱοὺς, παλαίειν προκαλεσάμενος, κατὰ τὴν πάλην ἀπέκτεινε. Κομίσας δὲ τὸν ζωστῆρα εἰς Μυκήνας, ἔδωκεν Εὐρυσθεῖ.

10 Δέκατον δὲ ἆθλον, τὰς Γηρυόνου βοῦς ἐξ Ἐρυθείας κομίζειν. Ἐρύθεια δὲ ἦν Ὠκεανοῦ πλησίον κειμένη νῆσος, ἣ νῦν Γάδειρα καλεῖται. ταύτην κατῴκει Γηρυόνης, Χρυσάορος καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ, τριῶν ἔχων ἀνδρῶν σύμφυὲς σῶμα, συνηγμένων εἰς ἓν κατὰ τὴν γαστέρα, ἐσχισμένον τε εἰς τρεῖς ἀπὸ λαγόνων τε καὶ μηρῶν. εἶχε δὲ Φοινικᾶς βόας, ὧν ἦν βουκόλος Εὐρυτίων· φύλαξ δὲ Ὄρθρος ὁ κύων δικέφαλος ἐξ Ἐχίδνης καὶ Τυφῶνος γεγεννημένος.

Πο-

11, 5, 9. Androgei filiis tradit. 10. Geryonis armenta abigit.

Πορευόμενος οὖν ἐπὶ τὰς Γηρυόνου βόας, διὰ τῆς Εὐρώπης, ἄγρια πολλὰ παρελθὼν, Λιβύην ἐπέβαινε· καὶ παρελθὼν Ταρτησσὸν, ἔστησε σημεῖα τῆς πορείας ἐπὶ τῶν ὄρων Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας. Θερμαινόμενος δὲ ὑπὸ Ἡλίου κατὰ τὴν πορείαν, τὸ τόξον ἐπὶ τὸν Ἥλιον ἐτείνεν· ὁ δὲ τὴν ἀνδρείαν φύσιν θαυμάσας, χρύσεον ἔδωκε δέπας, ἐν ᾧ τὸν Ὠκεανὸν διεπέρασε. καὶ παραγενόμενος εἰς Ἐρύθειαν, ἐν ὄρει Ἄβαντι αὐλίζεται. αἰσθόμενος δὲ ὁ κύων ἐπ' αὐτὸν ὥρμα· ὁ δὲ καὶ τοῦτον τῷ ῥοπάλῳ ταίει, καὶ τὸν βουκόλον Εὐρυτίωνα τῷ κυνὶ βοηθοῦντα ἀπέκτεινε. Μεγίστης δὲ ἐπεὶ τὰς Ἄθου βόας βόσκων, Γηρυόνης τὸ ἔγκλημα ἀπήγγειλεν. ὁ δὲ καταλαβὼν Ἡρακλέα παρὰ ποταμὸν Ἀνθεμοῦντα, τὰς βόας ἀπάγοντα, συστησάμενος μά-

VI, §. 10. Orthro et Eurytione.

χην, καὶ τοξευθεὶς ἀπέθανεν. Ἡρακλῆς ἐνθέμενος τὰς βόας εἰς τὸ δέπας, καὶ διαπλεύσας εἰς Ταρτησσὸν, Ἡλίῳ πάλιν ἀπέδωκε τὸ δέπας.

Διελθὼν δὲ Ἀβδηρίαν εἰς Λιγύην ἦλθεν, ἐν ᾗ τὰς βόας ἀφηροῦντο Ἀλεβίων τε καὶ Δέρκυνος οἱ Ποσειδῶνος υἱοὶ, οὓς κτείνας διὰ Τυῤῥηνίας ᾔει· Ἀπὸ Ῥηγίου δὲ εἰς ἀποῤῥήγνυσι ταῦρος, καὶ ταχέως εἰς τὴν θάλασσαν ἐμπεσὼν, καὶ διανηξάμενος εἰς Σικελίαν· καὶ τὴν πλησίον χώραν διελθὼν, τὴν ἀπ' ἐκείνου κληθεῖσαν Ἰταλίαν· Τυῤῥηνοὶ γὰρ Ἰταλὸν τὸν ταῦρον ἐκάλεσαν· ἦλθεν εἰς πεδίον Ἔρυκος, ὃς ἐβασίλευεν Ἐλύμων. Ἔρυξ δὲ ἦν Ποσειδῶνος παῖς, ὃς τὸν ταῦρον ταῖς ἰδίαις συγκατέμιξεν ἀγέλαις. Παραθέμενος οὖν τὰς βόας Ἡρακλῆς Ἡφαίστῳ, ἐπὶ τὴν αὐτοῦ ζήτησιν ἠπείγετο·

H. 5, 10. occisis, iter per Iberiam, per Ligures, per Italiam, Siciliam, vbi Erycem lucta sternit,

γετο· εὑρὼν δὲ ἐν ταῖς τοῦ Ἔρυκος ἀγέλαις, ἀπαιτεῖ καὶ λέγοντος, οὐ δώσειν, εἰ μὴ παλαίσας αὐτοῦ περιγένηται, τρὶς περιγενόμενος κατὰ τὴν πάλην, ἀπόπτεινε, καὶ τὸν ταῦρον λαβὼν, μετὰ τῶν ἄλλων ἐπὶ τὸν Ἰόνιον ἤλασεν πόντον.

Ὡς δὲ ἦλθεν ἐπὶ τοὺς μυχοὺς τοῦ πόντου, ταῖς βουσὶν οἶστρον ἐνέβαλεν ἡ Ἥρα, καὶ σχίζονται κατὰ τὰς Θρᾴκης ὑπωρείας· ὁ δὲ διώξας, τὰς μὲν συλλαβὼν ἐπὶ τὸν Ἑλλήσποντον ἦγεν· αἱ δὲ ἀπολειφθεῖσαι τὸ λοιπὸν ἦσαν ἄγριαι. Μόλις δὲ τῶν βοῶν συνελθουσῶν, Στρυμόνα μεμψάμενος τὸν ποταμὸν, πάλαι τὸ ῥεῖθρον πλωτὸν ὄν, ἐμπλήσας πέτραις, ἄπλωτον ἐποίησε, καὶ τὰς βόας Εὐρυσθεῖ κομίσας δέδωκε. ὁ δὲ αὐτὰς κατέθυσεν Ἥρᾳ.

II, 5. 10. et Thraciam facit.

11 Τελεσθέντων δὲ τῶν ἄθλων ἑνὶ μηνὶ καὶ ἔτεσιν ὀκτὼ, μὴ προσδεξάμενος Εὐρυσθεὺς τόν τε τῶν τοῦ Αὐγέου βοσκημάτων, καὶ τὸν τῆς ὕδρας, ἐνδέκατον ἐτέταξεν ἆθλον παρ' Ἑσπερίδων χρύσεα μῆλα κομίζειν.

Ταῦτα δὲ ἦν, οὐχ, ὥς τινες εἶπον, ἐν Λιβύῃ, ἀλλ' ἐπὶ τοῦ Ἄτλαντος ἐν Ὑπερβορέοις· ἃ Διὶ γήμαντι Ἥρα ἐδωρήσατο. Ἐφύλασσε δὲ αὐτὰ δράκων ἀθάνατος, Τυφῶνος καὶ Ἐχίδνης, κεφαλὰς ἔχων ἑκατόν· ἐχρῆτο δὲ φωναῖς παντοίαις καὶ ποικίλαις. μετὰ τούτου δὲ Ἑσπερίδες ἐφύλαττον, Αἴγλη, Ἐρύθεια, Ἑστία, Ἀρέθουσα.

Πορευόμενος οὖν ἐπὶ ποταμὸν Ἐχέδωρον ἧκε. Κύκνος δὲ, Ἄρεος καὶ Πυρήνης, εἰς μονομαχίαν αὐτὸν προὐκαλεῖτο. Ἄρεος δὲ τοῦτον ἐκδικοῦντος, καὶ

II, 5, 11. Hesperidum poma apportat ex Hyperboreis. In itinere

καὶ συνιστάντος μονομαχίαν, βληθεὶς κεραυνὸς μέσος ἀμφοτέρων διαλύει τὴν μάχην. Βαδίζων δὲ δι' Ἰλλυρίων, καὶ σπεύδων ἐπὶ ποταμὸν Ἠριδανὸν, ἧκε πρὸς Νύμφας Διὸς καὶ Θέμιδος· αὗται μηνύουσιν αὐτῷ Νηρέα. συλλαβὼν δὲ αὐτὸν κοιμώμενον καὶ παντοίας ἐναλλάσσοντα μορφὰς, ἔδησε· καὶ οὐκ ἔλυσε, πρὶν ἢ μαθεῖν παρ' αὐτοῦ, ποῦ τυγχάνοιεν τὰ μῆλα. καὶ αἱ Ἑσπερίδες μαθὼν δὲ, Λιβύην διεξῄει. Ταύτης ἐβασίλευε παῖς Ποσειδῶνος Ἀνταῖος, ὃς τοὺς ξένους ἀναγκάζων παλαίειν ἀνῄρει. τούτῳ δὲ παλαίειν ἀναγκαζόμενος Ἡρακλῆς, ἀράμενος ἅμμασι μετέωρον κλάσας ἀπέκτεινε. ψαύοντα γὰρ γῆς, ἰσχυρότατον συνέβη γίνεσθαι. διὸ καὶ Γῆς τινὲς ἔφαταν τοῦτον εἶναι παῖδα.

Μετὰ Λιβύην δὲ Αἴγυπτον ἐξῄει· ταύτης ἐβασίλευε Βούσιρις Ποσειδῶνος

II, 5, 11. cum Cycno pugnat, Antaeum

παῖς καὶ Λυσιανάσσης τῆς Ἐπάφου· οὗτος τοὺς ξένους ἔθυεν ἐπὶ βωμῷ Διὸς, κατά τι λόγιον· ἐννέα γὰρ ἔτη ἀφορία τὴν Αἴγυπτον κατέλαβε. Θράσιος δὲ ἐλθὼν ἐκ Κύπρου, μάντις τὴν ἐπιστήμην, ἔφη τὴν ἀφορίαν παύσεσθαι, ἐὰν ξένον ἄνδρα τῷ Διὶ σφάξωσι κατ' ἔτος. Βούσιρις δὲ ἐκεῖνον πρῶτον σφάξας τὸν μάντιν, τοὺς κατιόντας ξένους ἔσφαζε· συλληφθεὶς οὖν καὶ Ἡρακλῆς, τοῖς βωμοῖς προσεφέρετο· τὰ δὲ δεσμὰ διαῤῥήξας, τόντε Βούσιριν καὶ τὸν ἐκείνου παῖδα Ἀμφιδάμαντα ἀπέκτεινε, καὶ τὸν κήρυκα Χάλβην.

Διεξιὼν δὲ Ἀσίας, Θερμυδραῖς, Ῥοδίων λιμένι, προσίσχει. καὶ βοηλάτου τινὸς λύσας τὸν ἕτερον τῶν ταύρων ἀπὸ τῆς ἁμάξης, εὐωχεῖτο θύσας. ὁ δὲ βοηλάτης βοηθεῖν ἑαυτῷ μὴ δυνάμενος,

II, 5, 11. lucta prosternit, Busiridem mactat, in Rhodo hanc

νος, στὰς ἐπί τινος ὄρους κατηρᾶτο. διὸ καὶ νῦν, ἐπειδὰν ὑώσιν Ἡρακλεῖ, μετὰ καταρῶν τοῦτο πράττουσι.

Παριὼν δὲ Ἀραβίαν, Ἡμαθίωνα κτείνει παῖδα Τιθωνοῦ. καὶ διὰ τῆς Λιβύης πορευθεὶς ἐπὶ τὴν ἔξω θάλασσαν, κατάπλεῖ· οὗ τὸ δέπας καταλαμβάνει. καὶ περαιωθεὶς ἐπὶ τὴν ἤπειρον τὴν ἀντικρύ, κατεπόξευσεν ἐπὶ τοῦ Καυκάσου τὸν ἐσθίοντα τὸ τοῦ Προμηθέως ἧπαρ αἰετὸν, ὄντα Ἐχίδνης καὶ Τυφῶνος· [ὃς] καὶ τὸν Προμηθέα ἐλύτρε, δεσμὸν ἑλόμενος τὸν τῆς θλαίας, καὶ παρέσχε τῷ Διὶ Χείρωνα ἀθάνατον ἀντ' αὐτοῦ θέλοντα.

Ὡς δὲ ἦλεν εἰς Ὑπερβορέους πρὸς Ἄτλαντα, ὑποθέντος Προμηθέως τῷ Ἡρακλεῖ αὐτὸν ἐπὶ τὰ μῆλα μὴ πορεύεσθαι, διαδεξάμενον δὲ Ἄτλαντος τὸν πόλον, ἀποστέλλειν ἐκεῖνον, πεισθεὶς

II, 5, 11. devorat, Atlantis

σθεὶς [δὲ] διεδέξατο. Ἄτλας δὲ, ἀρεψάμενος παρ' Ἑσπερίδων τρία μῆλα, ἦκε πρὸς Ἡρακλέα. καὶ μὴ βουλόμενος τὸν πόλον ἔχειν, ** καὶ σπείραν ἐπὶ τῆς κεφαλῆς θέλειν ποιήσασθαι. τοῦτο ἀκούσας Ἄτλας, ἐπὶ γῆς καταθεὶς τὰ μῆλα, τὸν πόλον διεδέξατο. καὶ οὕτως ἀνηλόμενος αὐτὰ, Ἡρακλῆς ἀπηλλάττετο. ἔνιοι δὲ φασὶν, οὐ παρὰ Ἄτλαντος αὐτὰ λαβεῖν, ἀλλὰ αὐτὸν ἀρέψασθαι τὰ μῆλα, πταίσαντα τὸν Φρουροῦντα ὄφιν. νομίσας δὲ τὰ μῆλα Εὐρυσθεῖ ἐδωκεν· ὁ δὲ λαβὼν, Ἡρακλεῖ ἐδωρήσατο. παρ' οὗ λαβοῦσα Ἀθηνᾶ, πάλιν αὐτὰ ἀπεκόμισεν· ὅσιον γὰρ οὐκ ἦν αὐτὰ τεθῆναί που.

12 Δωδέκατον ἆθλον ἐπετάγη Κέρβερον ἐξ Ἅιδου κομίζειν. εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλὰς, τὴν δὲ οὐρὰν δράκοντος, κατὰ δὲ τοῦ νώτου, παντοίων

II, 5, 11. fraudem vitus redit. 12. Cerberum.

τοιῶν εἶχεν ὄφεων κεφαλάς. Μέλλων οὖν ἐπὶ τοῦτον ἀπιέναι, ἦλθε πρὸς Εὔμολπον εἰς Ἐλευσῖνα, βουλόμενος μυηθῆναι. ἦν δὲ οὐκ ἐξὸν ξένοις τότε μυεῖσθαι. [ἐπειδήπερ] ἥκοις Πυλίου παῖς γενόμενος ἐμυεῖτο. μὴ δυνάμενος δὲ ἰδεῖν τὰ μυστήρια, ἐπεὶπερ οὐκ ἦν ἡγνισμένος τὸν Κενταύρου φόνον, ἀγνισθεὶς, ὑπὸ Εὐμόλπου τότε ἐμυήθη. καὶ παραγενόμενος ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, οὗ τῆς Ἅιδου καταβάσεως τὸ στόμιόν ἐστι, διὰ τούτου κατῆει.

Ὀπηνίκα δὲ εἶδον αὐτὸν αἱ ψυχαὶ, χωρὶς Μελεάγρου καὶ Μαδούσης τῆς Γοργόνος, ἔφυγον. ἐπὶ δὲ τὴν Γοργόνα τὸ ξίφος, ὡς ζῶσαν, ἔλκει, καὶ παρὰ Ἑρμοῦ μανθάνει, ὅτι κενὸν εἴδωλόν ἐστι. Πλησίον δὲ τῶν Ἅιδου πυλῶν γενόμενος, Θησέα εὗρε, καὶ Πειρίθουν τὸν Περσεφόνης μνηστευόμενον γάμον,

καὶ

II, 5, 12. ex inferis deducit.

καὶ δὴ τοῦτο δεδέντα, θεασάμενοι δὲ Ἡρακλέα, τὰς χεῖρας ὤρεγον, ὡς ἀναστησόμενοι διὰ τῆς ἐκείνου βίας. ὁ δὲ Θησέα μὲν, λαβόμενος τῆς χειρὸς, ἤγειρε· Πειρίθουν δὲ ἀναστῆσαι βουλόμενος, τῆς γῆς κινουμένης, ἀφῆκεν. ἀπεκύλισε δὲ καὶ τὸν Ἀσκαλάφου πέτρον. βουλόμενος δὲ αἷμα ταῖς ψυχαῖς παρασχέθαι, μίαν τῶν Ἅδου βοῶν ἀπέσφαξεν· ὁ δὲ νέμων αὐτὰς Μενοίτιος ὁ Καυδωνύμου προσπαλεσάμενος εἰς πάλην Ἡρακλέα, λῆψιν μέσον, καὶ τὰς πλευρὰς κατεάξας, ὑπὸ Περσεφόνης παρητήθη.

Αἰτοῦντος δὲ αὐτῷ Πλούτωνα τὸν Κέρβερον, ἐπέταξεν ὁ Πλούτων ἄγειν χωρὶς ὅπλων κρατοῦντα. ὁ δὲ, εὑρὼν αὐτὸν ἐπὶ ταῖς πύλαις τοῦ Ἀχέροντος, τῷ τε θώρακι συμπε-

φρα-

11; 5, 12. Theſeum liberat, ab Aſcalapho ſaxum amouet, cum Menoete

φραγμένος, καὶ τῇ λεοντῇ συσκεπασθεὶς, καὶ περιβαλὼν τῇ κεφαλῇ τὰς χεῖρας, οὐκ ἐνῆκε, καίπερ δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος· κρατῶν ἐκ τοῦ τραχήλου, καὶ ἄγχων, τὸ θηρίον ἔπεισε. Συλλαβὼν οὖν αὐτὸν, ἧκε διὰ Τροιζῆνος ποιησάμενος τὴν ἀνάβασιν. Ἀσκάλαφον μὲν οὖν Δημήτηρ ἐποίησεν ὦτον. Ἡρακλῆς δὲ Εὐρυσθεῖ δείξας τὸν Κέρβερον πάλιν ἐκόμισεν εἰς Ἅδου.

Μετὰ δὲ τοὺς ἄθλους Ἡρακλῆς Cap. VI, ἀφικόμενος εἰς Θήβας Μέγαραν μὲν 1
ἔδωκεν Ἰολάῳ. αὐτὸς δὲ γῆμαι θέλων, ἐπυνθάνετο Εὔρυτον Οἰχαλίας δυνάστην ἆθλον προτεθῆναι τὸν Ἰόλης τῆς θυγατρὸς γάμον τῷ νικήσαντι τοξικῇ αὐτόν τε καὶ τοὺς παῖδας αὐτῷ ὑπάρχοντας. ἀφικόμενος οὖν εἰς Οἰχαλίαν, καὶ τῇ τοξικῇ κρείττων αὐτῶν γενόμενος,

II, 5, 12. pugnas. Megara dimissa, Ioles

νος, οὐκ ἔτυχε τοῦ γάμου. Ἰφίτου μὲν τοῦ πρεσβυτέρου τῶν παίδων λέγοντος διδόναι τῷ Ἡρακλεῖ τὴν Ἰόλην, Εὐρύτου δὲ καὶ τῶν λοιπῶν ἀπαγορευόντων καὶ δεδοικέναι λεγόντων, μὴ τεκνοποιησάμενος τὰ γενησόμενα πάλιν ἀποκτείνῃ. Μετ' οὐ πολὺ δὲ κλαπεισῶν ἐξ Εὐβοίας ὑπὸ Αὐτολύκου βοῶν, Εὔρυτος μὲν ἐνόμιζεν ὑφ' Ἡρακλέους γεγονέναι τοῦτο· Ἴφιτος δὲ ἀπιστῶν ἀφικνεῖται πρὸς Ἡρακλέα. καὶ συντυχὼν ἥκοντι ἐκ Φερῶν αὐτῷ, σεσωκότι τὴν ἀποθανοῦσαν Ἄλκηστιν Ἀδμήτῳ, παρακαλεῖ συζητῆσαι τὰς βόας. Ἡρακλῆς δὲ ὑπισχνεῖται καὶ ξενίζει μὲν αὐτόν. μανεὶς δὲ αὖθις ἀπὸ τῶν Τιρυνθίων ἔῤῥιψεν αὐτὸν τειχῶν. καθαρθῆναι δὲ θέλων τὸν φόνον, ἀφικνεῖται πρὸς Νηλέα. Πυλίων ἦν οὗτος δυνάστης. ἀπωσαμένου δὲ Νηλέως αὐτὸν διὰ

II, 6, 1. nuptias ambit; Iphitus interimit

διὰ τὴν πρὸς Εὔρυτον φιλίαν, εἰς Ἀμύκλας παραγενόμενος, ὑπὸ Δηϊφόβου τοῦ Ἱππολύτου καθαίρεται. κατασχεθεὶς δεινῇ νόσῳ διὰ τὸν Ἴφιτον φόνον, εἰς Δελφοὺς παραγενόμενος, ἀπαλλαγὴν ἐπυνθάνετο τῆς νόσου. μὴ χρησμῳδούσης δὲ αὐτῷ τῆς Πυθίας, τόν τε ναὸν συλᾷν ἤθελε, καὶ τὸν τρίποδα βαστάσας, κατασκευάζει μαντεῖον ἴδιον. μαχομένου δὲ αὐτῷ Ἀπόλλωνος, ὁ Ζεὺς ἵησι μέσον αὐτῶν κεραυνόν. καὶ τοῦτον διαλυθέντων τὸν τρόπον, λαμβάνει χρησμὸν Ἡρακλῆς, ὃς ἔλεγεν ἀπαλλαγὴν αὐτῷ τῆς νόσου ἔσεσθαι πραθέντι καὶ τρία ἔτη λατρεύσαντι, καὶ δόντι ποινὴν τοῦ φόνου τὴν τιμὴν Εὐρύτῳ.

Τοῦ δὲ χρησμοῦ δοθέντος, Ἑρμῆς 3
Ἡρακλέα πιπράσκει· καὶ αὐτὸν ὠνεῖται
Ὀμ-

II, 6, 3. Apollinis tripodem Delphis aufert. 3. Omphalae servit.

Ὀμφάλη Ἰαρδάνου, βασιλεύουσα Λυδῶν, ᾗ τὴν ἡγεμονίαν τελευτῶν ὁ ἡμᾶς Τμῶλος κατέλιπε. Τὴν μὲν οὖν σιμὴν νομισθεῖσαν Εὔρυτος οὐ προσεδέξατο· Ἡρακλῆς δὲ Ὀμφάλῃ δουλεύων, τοὺς μὲν παρὰ τὴν Ἔφεσον Κέρκωπας συλλαβὼν ἔδησε. Συλέα δὲ ἐν Αὐλίδι τοὺς παριόντας ξένους σκάπτειν ἀναγκάζοντα, σὺν ταῖς ῥίζαις τὰς ἀμπέλους σκάψας, μετὰ τῆς θυγατρὸς Ξενοδίκης ἀπέκτεινε. καὶ προσχὼν νήσῳ Δολίχῃ, τὸ Ἰκάρου σῶμα ἰδὼν τοῖς αἰγιαλοῖς προσφερόμενον, ἔθαψε, καὶ τὴν νῆσον ἀντὶ Δολίχης Ἰκαρίαν ἐκάλεσεν. Ἀντὶ πούτου Δαίδαλος ἐν Πίσῃ εἰκόνα παραπλησίαν κατεσκεύασεν Ἡρακλεῖ· ἣν νυκτὸς ἀγνοήσας Ἡρακλῆς, λίθῳ βαλὼν, ὡς ἔμπνουν ἔπληξε. Καθ' ὃν δὲ χρό-

---

II, 6, 3. Cercopas vincit, Syleum occidit, ab Icaro sepulto Dolichen Icariam appellat, a Daedalo factum simulacrum suum percutit,

χρόνον ἐλάτρευε παρ' Ὀμφάλῃ, λέγεται τὸν ἐπὶ Κόλχους πλοῦν γενέσθαι καὶ τὴν τοῦ Καλυδωνίου κάπρου θήραν καὶ Θησέα παραγενόμενον ἐκ Τροιζῆνος εἰς τὸν Ἰσθμὸν καθᾶραι.

Μετὰ δὲ τὴν λατρείαν ἀπαλλαγεὶς τῆς νόσου ἐπὶ Ἴλιον ἔπλει, πεντηκοντόρους ὀκτωκαίδεκα, συναθροίσας στρατὸν ἀνδρῶν ἀρίστων ἑκουσίως θελόντων στρατεύεσθαι. καταπλεύσας δὲ εἰς Ἴλιον, τὴν μὲν τῶν νεῶν φυλακὴν Οἰκλεῖ κατέλιπεν· αὐτὸς δὲ μετὰ τῶν ἄλλων ἀριστέων ὥρμα ἐπὶ τὴν πόλιν. παραγενόμενος δὲ ἐπὶ τὰς ναῦς σὺν τῷ πλήθει Λαομέδων, Οἰκλέα μὲν ἀπέκτεινε μαχόμενον· ἀπελαθεὶς δὲ, ὑπὸ τῶν μετὰ Ἡρακλέους, ἐπολιορκεῖτο. τῆς δὲ πολιορκίας ἐνεστώσης, ῥήξας τὸ τεῖχος, Τελαμὼν πρῶτος εἰσῆλθεν εἰς τὴν πό- 4

II, 6, 4. Troiam expugnat,

λιν· καὶ μετὰ τοῦτον Ἡρακλῆς. ὃς δὲ ἐθεάσατο Τελαμῶνα πρῶτον εἰσελήλυθότα, σπασάμενος τὸ ξίφος, ἐπ' αὐτὸν ᾔει, μηδένα θέλων ἑαυτοῦ κρείττονα νομίζεσθαι. τιμιδὼν τοῦτο Τελαμὼν πλησίον λίθους καιμένους συνήθροιζε. τοῦ δὲ ἐρομένου, τί πράττοι· βωμὸν, εἶπεν, Ἡρακλέους κατασκευάζειν Καλλινίκου. ὁ δὲ, ἐπαινέσας, ὡς εἷλε τὴν πόλιν, κατατοξεύσας Λαομέδοντα καὶ τοὺς παῖδας αὐτοῦ χωρὶς Ποδάρκου, Τελαμῶνι ἀριστεῖον Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα δίδωσι, καὶ ταύτῃ συγχωρεῖ τῶν αἰχμαλώτων ὃν ἤθελεν ἄγεσθαι. τῆς δὲ αἱρουμένης τὸν ἀδελφὸν Ποδάρκην, ἔφη δεῖν πρῶτον αὐτὸν δοῦλον γενέσθαι, καὶ τότε, τί ποτε δοῦσαν ἀντ' αὐτοῦ, λαβεῖν αὐτόν. ἡ δὲ πιπρασκομένου, [χρυσῆν] τὴν καλύπτραν ἀφελομένη τῆς κεφαλῆς ἀντιδί-

δω-

II, 6, 4. Telamoni Hesionen tradit et Priamum huic condonat.

ἔδωκεν· ὅθεν Ποδάρκης Πρίαμος ἐκλήθη.

Πλέοντος δὲ ἀπὸ Τροίας Cap. VII, Ἡρακλέους, Ἥρα χαλεποὺς ἔπεμψε χειμῶνας· ἐφ' οἷς ἀγανακτήσας Ζεὺς, ἐκρέμασεν αὐτὴν ἐξ Ὀλύμπου. προσέπλει δὲ Ἡρακλῆς τῇ Κῷ· καὶ νομίσαντες αὐτὸν οἱ Κῶοι λῃστρικὸν ἄγειν στόλον, βάλλοντες λίθοις προσπλεῖν ἐκώλυον. ὁ δὲ βιασάμενος, τὴν νύκτα, εἷλε, καὶ τὸν βασιλέα Εὐρύπυλον, Ἀστυπαλαίας παῖδα καὶ Ποσειδῶνος, ἔκτεινε. ἐτρώθη δὲ κατὰ τὴν μάχην Ἡρακλῆς ὑπὸ Χαλκώδοντος, καὶ, Διὸς ἐξαρπάσαντος αὐτὸν, οὐδὲν ἔπαθε.

Πορθήσας δὲ Κῶ, ἧκε δι' Ἀθηνᾶν εἰς Φλέγραν, καὶ μετὰ θεῶν κατεπολέμησε Γίγαντας.

II, 7. 1. Con insulam expugnat, et Gigantes debellat.

2 Μετ' οὐ πολὺ δὲ ἐπ' Αὐγέαν ἐστρατεύετο, συναθροίσας Ἀρκαδικὸν στρατὸν, καὶ παραλαβὼν ἐθελοντὰς [τῶν ἀστῶν] ἀπὸ τῆς Ἑλλάδος ἀριστέων. Αὐγέας δὲ τὸν ἀφ' Ἡρακλέους πόλεμον ἀκούων, κατέστησεν Ἠλείων στρατηγοὺς Εὔρυτον καὶ Κτέατον συμφυεῖς, οἳ δυνάμει τοὺς τότε ἀνθρώπους ὑπερέβαλλον· παῖδες δὲ ἦσαν Μολιόνης καὶ Ἄκτορος, ἐλέγοντο δὲ Ποσειδῶνος· Ἄκτωρ δὲ ἀδελφὸς ἦν Αὐγέου. συνέβη δὲ Ἡρακλεῖ, κατὰ τὴν στρατείαν νοσῆσαι· διὰ τοῦτο καὶ σπονδὰς πρὸς τοὺς Μολιονίδας ἐποιήσατο. οἱ δὲ, ὕστερον ἐπιγενόντες αὐτὸν νοσοῦντα, ἐπιτίθενται τῷ στρατεύματι, καὶ κτείνουσι πολλούς. Τότε μὲν οὖν [οὐκ] ἀνεχώρησεν Ἡρακλῆς· ὡς δὲ τῆς τρίτης Ἰσθμιάδος τελουμένης, Ἠλείων τοὺς Μολιονίδας πεμψάντων συνθύτας,

ἐν

II, 7, 2. Molionidas ex insidiis occidit.

ἐν Κλεωναῖς ἀνεδρεύσας τούτους Ἡρακλῆς ἀπέκτεινε, καὶ στρατευσάμενος ἐπὶ τὴν Ἦλιν εἷλε τὴν πόλιν. καὶ κτείνας μετὰ τῶν παίδων Αὐγέαν, κατήγαγε Φυλέα, καὶ τούτῳ τὴν βασιλείαν ἔδωκαν. Ἔθηκε δὲ καὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα· Πέλοπός τε βωμὸν ἱδρύσατο, καὶ θεῶν δώδεκα βωμοὺς ἐξῆς ἐδείματο.

Μετὰ δὲ τῆς Ἤλιδος ἅλωσιν, ἐστράτευσεν ἐπὶ Πύλον, καὶ τὴν πόλιν ἑλὼν, 3
περικλύμενον κτείνει τὸν ἀλκιμώτατον τῶν Νηλέως παίδων, ὃς μεταβάλλων τὰς μόρφωσεις ἐμάχετο. τὸν δὲ Νηλέα καὶ τοὺς παῖδας αὐτοῦ, χωρὶς Νέστορος, ἀπέκτεινε. οὗτος δὲ νέος ὢν παρὰ Γερηνίοις ἐτρέφετο. Κατὰ δὲ τὴν μάχην καὶ Ἄδην ἔτρωσε Πυλίοις βοηθοῦντα.

II. 7, 2. Elide capta Augeam interimit. 3. Pylo capta Neleum cum filiis necat, Nestore servato.

Ἑλὼν δὲ τὴν Πύλον, ἐστράτευσεν ἐπὶ Λακεδαίμονα, μετελθεῖν τοὺς Ἱπποκόωντος παῖδας θέλων. ὠργίζετο μὲν γὰρ αὐτοῖς, καὶ διότι Νηλεῖ συνεμάχησαν, μᾶλλον δὲ ὠργίσθη, ὅτι τὸν Λικυμνίου παῖδα ἀπέκτειναν. Θεραπεύοντος γὰρ αὐτοῦ τὰ Ἱπποκόωντος βασίλεια, ἐπδραμὼν κύων τῶν Μολοττικῶν ἐπ' αὐτὸν ἐφέρετο· ὁ δὲ, βαλὼν λίθον, ἐπέτυχε τοῦ κυνός. ἐκτροχάσαντες δὲ οἱ Ἱπποκοωντίδαι, καὶ τύπτοντες αὐτὸν τοῖς σκυτάλοις, ἀπέκτειναν. τὸν δὲ τούτου θάνατον ἐκδικῶν, στρατείαν ἐπὶ Λακεδαιμονίαν συνήγειρε. καὶ παραγενόμενος εἰς Ἀρκαδίαν, ἡξίου καὶ Κηφέα μετὰ τῶν παίδων, ὧν εἶχεν, εἴκοσι, συμμαχεῖν. θεσπιῶς δὲ Κηφεὺς, μὴ καταλιπόντος αὐτοῦ Τέγεαν Ἀργεῖοι ἐπιστρατεύσωνται, τὴν στρα-

---

II, 7, 3. Hippocoontem cum filiis, Cepheo ex Tegea auxilia ferente, caedit,

στρατείαν ἠρνεῖτο. Ἡρακλῆς δὲ παρ' Ἀθηνᾶς λαβὼν ἐν ὑδρίᾳ χαλκοῦν βόστρυχον Γηρυόνος, Στερόπῃ τῇ Κηφέως θυγατρὶ δίδωσιν, εἰπὼν ἐὰν ἐπὶ στρατὸς, τρὶς ἀναστρώσῃς ἐκ τῶν ταιχέων τὸν βόστρυχον καὶ μὴ προϊδούσης, τρωκὴν τῶν πολεμίων ἔσεσθαι. τούτου γενομένου, Κηφεὺς κατὰ τῶν παίδων ἐστράτευε. καὶ κατὰ τὴν μάχην αὐτός τε καὶ οἱ παῖδες αὐτοῦ τελευτῶσι· καὶ πρὸς τούτοις Ἴφικλος ὁ τοῦ Ἡρακλέους ἀδελφός. Ἡρακλῆς δὲ πτείνας τὸν Ἱπποκόωντα, καὶ τοὺς παῖδας αὐτοῦ, χειρωσάμενος τὴν πόλιν, Τυνδάρεω κατάγαγών, τὴν βασιλείαν παρέδωκε τούτῳ.

Παριὼν δὲ Τέγεαν Ἡρακλῆς, τὴν 4
Αὔγην Ἀλεοῦ θυγατέρα οὖσαν ἀγνοῶν ἔφθειρεν. ἡ δὲ, τεκοῦσα κρύφα τὸ

II, 7, 3. Lacedaemonem Tyndareo tradit. 4. Augen ab Hercule compressa

βρέφος, κατέθετο ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. λοιμῷ δὲ τῆς χώρας φθειρομένης, Ἀλεὸς εἰσελθὼν καὶ ἐρευνήσας εἰς τὸ τέμενος, τὰς τῆς θυγατρὸς ὠδῖνας εὗρε. τὸ μὲν οὖν βρέφος εἰς τὸ Παρθένιον ὄρος ἐξέθετο. καὶ τοῦτο μὲν κατὰ θεῶν τινα πρόνοιαν ἐσώθη. θηλὴν μὲν γὰρ ἀρτιτόκος ἔλαφος ὑπέσχεν αὐτῷ, ποίμνας δὲ ἀνελόμενοι τὸ βρέφος, Τήλεφον ἐπάλεσαν αὐτόν. Αὔγην δὲ ἔδωκε Ναυπλίῳ τῷ Ποσειδῶνος ὑπεράριον ἀπεμπολήσει. ἃ δὲ Τεύθραντι τῷ Τευθρανίας ἔδωσεν αὐτὴν δυνάστῃ· παρ' ἐκείνου γυναῖκα ἐποιήσατο.

5 Ἡρακλῆς δὲ παραγενόμενος εἰς Καλυδῶνα, τὴν Οἰνέως θυγατέρα Δηϊάνειραν ἐμνηστεύσατο. καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς Ἀχελῶον, ἀπει-

---

II, 7, 4. edit Telephum, nubit Teuthranti. 5. Acheloo victo, Dejaniram ducit.

ἐκπεπαυσθέντα ταύρου, περιέκλασε τὸ ἕτερον τῶν κεράτων. καὶ τὴν μὲν Δηϊάνειραν γαμεῖ· τὸ δὲ κέρας Ἀχελῶος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν Αἰμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου, τοῦτο δὲ, ὡς Φερεκύδης λέγει, δύναμιν ἔχει τοιαύτην, ὥστε βρωτὸν ἢ ποτὸν, ὅπερ εὔξαιτό τις, παρέχειν ἄφθονον.

Στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτούς. καὶ πόλιν ἄλλων Ἔφυραν, ἧς ἐβασίλευε Φῦλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθών, πατὴρ Τληπολέμου γίνεται. Διατελῶν δὲ παρ' αὐτοῖς, πέμψας πρὸς Θέστιον, ἐπτὰ μὲν παιδίσκας ἔλεγε παῖδας, τρεῖς δὲ εἰς Θήβας ἀποστέλλειν, τοὺς δὲ λοι- 6

πούς

II, 7, 5. ab ipso cornu Amaltheae accipit. 6. Tlepolemum suscipit ex Astyoche Phylantis f.; Thespiadas

τοὺς τεσσαράκοντα πέμπειν εἰς Σαρδὼ τὴν νῆσον ἐπ' ἀποικίαν.

Γενομένων δὲ τούτων, εὐαχούμενος παρὰ Οἰνεῖ, [καὶ] κονδύλῳ παίσας ἀπέκτεινεν Ἀρχιτέλους παῖδα Εὔνομον κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ Οἰνέως οὗτος. ἀλλ' ὁ μὲν πατὴρ τοῦ παιδὸς, ἀκουσίως γεγενημένου τοῦ συμβεβηκότος, συνεγνωμόνει· Ἡρακλῆς δὲ, κατὰ τὸν νόμον, τὴν φυγὴν ὑπομένειν ἤθελε· καὶ διέγνω πρὸς Κήυκα εἰς Τραχῖνα ἀπιέναι. Ἄγων δὲ Δηϊάνειραν, ἐπὶ ποταμὸν Εὔηνον ἧκεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος τοὺς παριόντας διεπόρθμευε μισθοῦ, λέγων παρὰ θεῶν τὴν πορθμείαν εἰληφέναι διὰ δικαιοσύνην. αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν διέβη· Δηϊάνειραν δὲ, μι-

II, 7, 6. in Sardiniam mittit. Eunomo caeso, fugit Trachinem. Nessum Centaurum in transvectione

μισθὸν αἰτηθεὶς, ἐτέτρεψε Νέσσῳ διακομίζειν. ὁ δὲ διαπορθμεύων αὐτὴν ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀνακραγούσης αἰσθόμενος ὁ Ἡρακλῆς, ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν. ὁ δὲ μέλλων τελευτᾶν, προσκαλεσάμενος εἶπεν, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν, τὸν τε γόνον, ὃν ἀφῆκε κατὰ τῆς γῆς, καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀπίδος αἷμα, συμμίξαι. ἡ δὲ πεισθεῖσα τοῦτο, ἐφύλαττε παρ' ἑαυτῇ.

Διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, ἀπορῶν τροφῆς, ἀπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων λύσας, εὐωχήσατο. Ὡς δὲ ἦκεν εἰς Τραχῖνα πρὸς Κήυκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ, Δρύοπας κατεπολέμησεν. 7

Αὖ-

II. 7. 5. Deianirae sagitta transfigit. 7. Thiodamantis bovem devorat. Dryopes superat.

Αὖθις δὲ ἐκεῖθεν ὁρμηθεὶς, Αἰγιμίῳ βασιλεῖ Δωριέων συνεμάχησε. Λαπίθαι γὰρ περὶ γῆς ὅρων ἐπολέμουν αὐτῷ, Κορώνου στρατηγοῦντος. ὁ δὲ, πολιορκούμενος, ἐπεκαλέσατο τὸν Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. βοηθήσας δὲ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ τῶν ἄλλων, καὶ τὴν γῆν ἅπασαν παρέδωκεν ἐλευθέραν αὐτῷ.

Ἀπέκτεινε δὲ καὶ Λαογόραν, μετὰ τῶν τέκνων, βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει δαινύμενον, ὑβριστὴν ὄντα, καὶ Λαπιθῶν σύμμαχον. Παριόντα δὲ Ἴτωνα εἰς μονομαχίαν προεκαλέσατο αὐτὸν Κύκνος Ἄρεος καὶ Πελοπίας. συστὰς δὲ καὶ τοῦτον ἀπέκτεινεν. Ὡς δὲ εἰς Ὀρμένιον ἦκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς οὐκ εἴα διέρ-

---

II, 7, 7. Aegimio regnum restituit, Laogoram interimit nec non Cycnum

διέρχεσθαι. κωλυόμενος δὲ παριέναι, καὶ τοῦτον ἀπέκτεινεν.

Ἀφικόμενος δὲ εἰς Τραχῖνα, στρατείαν ἐπ' Οἰχαλίαν συνήθροισεν, Εὔρυτον τιμωρήσασθαι θέλων. συμμαχούντων δὲ αὐτῷ Ἀρκάδων καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος, καὶ Λοκρῶν τῶν Ἐπικνημιδίων, πτείνας μετὰ τῶν παίδων Εὔρυτον, αἱρεῖ τὴν πόλιν. καὶ θέψας τῶν σὺν αὐτῷ στρατευσαμένων τοὺς ἀποθανόντας, Ἵππασόν τε τὸν Κηΰκος, καὶ Ἀργεῖον καὶ Μέλανα τοὺς Λικυμνίου παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμάλωτον. καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας, ἐπ' ἀκρωτηρίῳ Διὸς Κηναίου βωμὸν ἱδρύσατο. Μέλλων δὲ ἱερουργεῖν, εἰς Τραχῖνα [Λίχαν] ἔπεμψε, λαμπρὰν ἐσθῆτα αἰτοῦντα. παρὰ δὲ τούτου τὰ περὶ τὴν Ἰόλην δη-

δήνει-

II, 7, 7. et Amyntorem Ormenii regem. Oechalia expugnata Iolen captam abducit.

ἡ Δηϊάνειρα πυθομένη, καὶ δείσασα μὴ ἐκεί-νην μᾶλλον ἀγαπήσῃ, νομίσασα ταῖς ἀληθείαις φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ἐνδὺς δὲ Ἡρακλῆς ἔθυεν. Ὡς δὲ θερ-μανθέντος τοῦ χιτῶνος ὁ τῆς ὕδρας ἰὸς τὸν χρῶτα ἕσηπε· τὸν μὲν Λίχαν τοῖν ποδοῖν ἁράμενος, κατηκόντισεν [ἀπὸ τῆς Βοιωτίας.] τὸν δὲ χιτῶνα ἀπέσπα προσ-πεφυκότα τῷ σώματι· συναπεσπῶντο δὲ αἱ σάρκες αὐτῷ. τοιαύτῃ δὲ συμ-φορᾷ κατασχεθείς, εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται. Δηϊάνειρα δὲ αἰσθο-μένη τὸ γεγονὸς, ἑαυτὴν ἀνῄρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς ἐκ Δηϊανείρας ἦν αὐτῷ παῖς πρεσβύτε-ρος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι, πα-ραγενόμενος εἰς Οἴτην ὄρος, (ἔστι δὲ τοῦτο Τραχινίων) ἐκεῖ πυρὰν ποιήσας, ἐκέλευσεν, ἐπιβάντος, ὑφάπτειν. μηδε-νὸς

II, 7; 7. Deianira munere contabescens, rogo

νὸς δὲ τοῦτο πράττειν ἐθέλοντος, Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων, ὑφῆψε τούτῳ καὶ τὰ τόξα ἐδωρήσατο Ἡρακλῆς. Καιομένης δὲ τῆς πυρᾶς, λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι. Ἐκεῖθεν δὲ τυχὼν ἀθανασίας, καὶ διαλλαγεὶς Ἥρᾳ, τὴν ἐκείνης θυγατέρα Ἥβην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖδες Ἀλεξιάρης καὶ Ἀνίκητος ἐγένοντο.

Ἦσαν δὲ παῖδες αὐτῷ, ἐκ μὲν τῶν 8
Θεσπίου θυγατέρων, Πρόκριδος μὲν, Ἀντιλέων καὶ Ἱππεύς· ἡ πρεσβυτάτη γὰρ διδύμους ἐγέννησε. Πανόπης δὲ Θρεψίππας· Λύσης, Ευμείδης·* Κρέων· Ἐπιλάϊδος, Ἀστυάναξ· Κέρθης δὲ, Ἰόβης· Εὐρυβίας, Πολύλαος· Πατροῦς, Ἀρ-

II, 7, 7. in Oeta facto se comburit. 8. Progenies Herculis.

Ἀρχέμαχος· Μελίνης, Λαομέδων· Κλυτίππης, Εὐρύκαπυς· Εὐρύτυλος, Εὐβούτης· Ἀγλαΐης, Ἀντιάδης· Ὀνητορίδης, Χρυσηΐδος· Ὀρείης, Λανομάχης· Τέλης, Λυσιδίκης· Ἐντελίδης, Μενιππίδης· Ἀνθίππης, Ἱπποδρόμος· Τελευταγόρας, Εὐρύκης· Πύλος, Ἵππωτος. Εὐβοίας, Ὄλυμπος· Νίκης, Νικόδρομος· Ἀργέλης, Κλεόλαος· Ἐξέλης, Ἐρύθρας· Ξανθίδος, Ὀμόλιππος· Στρατονίκης, Ἄτρομος· Κελευστάνωρ, Ἴφις· Λαοθόης, Ἄντιδος· Ἀντιώπης, Ἀλόπιος· Ἀστυβίης, Κλαμήτιδος· Φυλήδος, Τίγασις· Αἰσχρηΐδος, Λευκώγης· Ἀνθείας· Εὐρυτύλης, Ἀρχέδικος· Δυνάστης, Ἔρατος· Ἀσωπίδης, Μέντωρ· Ἠώνης, Ἀμήστριος· Τιφύσης, Λυγκεὺς· Ἀλοκράτης, Ὀλυμπούσης. Ἐλικωνίδος, Φαλίας· Ἡσυχείης, Οἰστρέβλης· Τερψικράτης, Εὐρύωψ· Ἐλευχάλας,

---

II, 7, 8. primo ex Thespiadibus.

χείας, Βουλεὺς· Ἀντίμαχος, Νικίππης· Πάτροκλος, Πυρίππης· Νῆφος, Πραξιθέας· Λυσίππης, Ἐράσιππος· Λυκοῦργος· Λύκιος, Τοξικράτης· Βουκόλος, Μάρσης· Λεύκιππος, Εὐρυτέλης· Ἱπποκράτης, Ἱππόζυγος. Οὗτοι μὲν ἐκ τῶν Θεσπίου θυγατέρων. Ἐκ δὲ τῶν ἄλλων, Δηϊανείρας μὲν τῆς Οἰνέως, Ἄλλος, Κτήσιππος, Γληνὸς, Ὀνείτης. Ἐκ Μεγάρας δὲ τῆς Κρέοντος, Θήρίμαχος, Δηϊκόων, Κρεοντιάδης, Δηΐων. Ἐξ Ὀμφάλης δὲ, Ἀγέλαος· ὅθεν καὶ τὸ Κροίσου γένος· Χαλκιόπης τῆς Εὐρυπύλου, Θετταλὸς· Ἐπικάστης τῆς Αὐγέου, Θεστάλος· Παρθενόπης τῆς Στυμφάλου, Εὐήρης· Αὔγης τῆς Ἀλεοῦ, Τήλεφος· Ἀστυόχης τῆς Φύλαντος, Τληπόλεμος· Ἀστυδαμείας τῆς Ἀμύντο-

II, 7, 8. tum ex Deianira, Megara, Omphale, Chalciope, Epicaste, Parthenope, Auge, Astyoche, Astydamia, et Antonoe.

ρος, Κτήσιππος· Αὐτονόης τῆς Πειρέως, Παλαίμων.

Cap. VIII, Μεταστάντος δὲ Ἡρακλέους εἰς
1 θεοὺς, οἱ παῖδες αὐτοῦ φυγόντες Εὐρυσθέα, πρὸς Κήυκα παρεγένοντο. Ὡς δὲ, ἐκείνους ἐκδιδόναι λέγοντος Εὐρυσθέως καὶ πόλεμον ἀπειλοῦντος, ἐδεδοίκεσαν, Τραχῖνα καταλιπόντες, διὰ τῆς Ἑλλάδος ἔφυγον. Διωκόμενοι δὲ, ἦλθον εἰς Ἀθήνας, καὶ καθεσθέντες ἐπὶ τὸν Ἐλέου βωμὸν, ἠξίουν βοηθεῖσθαι. Ἀθηναῖοι δὲ οὐκ ἐκδιδόντες αὐτοὺς, πρὸς τὸν Εὐρυσθέα πόλεμον ὑπέστησαν. καὶ τοὺς μὲν παῖδας αὐτοῦ Ἀλέξανδρον, Ἰφιμέδοντα, Εὐρύβιον, Μέντορα, Περιμήδην ἀπέκτειναν· αὐτὸν δὲ Εὐρυσθέα φεύγοντα ἐφ' ἅρματος, καὶ πέτρας ἤδη παριππεύοντα Σκειρωνίδας, κτείνει διώξας Ὕλλος.

καὶ

II. 8, 1. Heraclidae supplices facti Atheniensibus. Eurystheus bellum infert et occiditur.

καὶ τὴν μὲν κεφαλὴν ἀποτεμὼν, Ἀλκμήνῃ δίδωσιν· ἡ δὲ, κερκίσι τοὺς ὀφθαλμοὺς ἐξώρυξεν αὐτοῦ.

Ἀπολομένου δὲ Εὐρυσθέως ἐπὶ Πελοπόννησον ἦλθον οἱ Ἡρακλεῖδαι, καὶ πάσας εἷλον τὰς πόλεις. ἐπὶ ἐνιαυτοῦ δὲ αὐτοῖς ἐν τῇ καθόδῳ γενομένη φθορὰ πᾶσαν Πελοπόννησον κατέσχε. καὶ ταύτην γενέσθαι χρησμὸς διὰ τοὺς Ἡρακλείδας ἐδήλου· πρὸ γὰρ τοῦ δέοντος αὐτοὺς κατελθεῖν. Ὅθεν ἀπολιπόντες Πελοπόννησον, ἦλθον εἰς Μαραθῶνα, κἀκεῖ κατῴκουν. Τληπόλεμος οὖν, κτείνας οὐχ ἑκὼν Λικύμνιον, (τῇ βακτηρίᾳ γὰρ αὐτοῦ θεραπεύοντα πλήσσοντος ὑπέδραμε) πρὶν ἐξελθεῖν αὐτὸν ἐκ Πελοποννήσου. Φεύγων οὖν μετ' οὐκ ὀλίγων, ἧκεν εἰς Ῥόδον, κἀκεῖ κατῴκει.

2

II, 8. 2. Heraclidae Peloponnesum occupatam iterum relinquunt.

Ὕλλος δὲ, τὴν μὲν Ἰόλην κατὰ τὴν τοῦ πατρὸς ἐντολὴν ἔγημε· τὴν δὲ κάθοδον ἐζήτει τοῖς Ἡρακλείδαις κατεργάσασθαι. Διὸ παραγενόμενος εἰς Δελφοὺς, ἐπυνθάνετο πῶς ἂν κατέλθοιεν. Ὁ δὲ θεὸς ἔφησε, περιμείναντας τὸν τρίτον καρπὸν κατέρχεσθαι. νομίσας δὲ Ὕλλος τρίτον καρπὸν λέγεσθαι τὴν τριετίαν, τοσοῦτον περιμείνας χρόνον σὺν τῷ στρατῷ κατῄει* τοῦ Ἡρακλέους ἐπὶ Πελοπόννησον, Τισαμένου τοῦ Ὀρέστου βασιλεύοντος Πελοποννησίων. Καὶ γενομένης πάλιν μάχης, νικῶσι Πελοποννήσιοι, καὶ Ἀριστόμαχος θνήσκει.

Ἐπεὶ δὲ ἠνδρώθησαν οἱ [Κλεολάου] παῖδες, ἐχρῶντο περὶ καθόδου. Τοῦ θεοῦ δὲ εἰπόντος, ὅ, τι καὶ τὸ πρότερον, Τήμενος ᾐτιᾶτο λέγων, τούτῳ πεισθέντα

II, 8. 2. Hyllus reditum in Peloponnesum tentat. Mox Aristomachus.

σθέντα ἀτυχῆσαι. ὁ δὲ θεὸς ἀντεῖπε, τῶν ἀτυχημάτων αὐτοὺς αἰτίους εἶναι· τοὺς γὰρ χρησμοὺς οὐ συμβάλλειν· λέγειν γὰρ οὐ γῆς, ἀλλὰ γενεᾶς καρπὸν τρίτον, καὶ στενυγρὰν τὴν εὐρυγαστέρα, δεξιὰν κατὰ τὸν Ἰσθμὸν ἔχοντι τὴν θάλασσαν. Ταῦτα Τήμενος ἀκούσας, ἡτοίμαζε τὸν στρατὸν, καὶ ναῦς ἐπήξατο τῆς Λοκρίδος ἔνθα νῦν ἀπ' ἐκείνου ὁ τόπος Ναύπακτος λέγεται. Ἐκεῖ δὲ ὄντος τοῦ στρατεύματος, Ἀριστόδημος κεραυνωθεὶς ἀπέθανε παῖδας καταλιπὼν ἐξ Ἀργείας τῆς Αὐτεσίωνος διδύμους, Εὐρυσθένη καὶ Προκλέα· Συνέβη δὲ 3
καὶ τὸν στρατὸν ἐν Ναυπάκτῳ συμφορᾷ περιτεσεῖν. ἐφάνη γὰρ αὐτοῖς μάντις χρησμοὺς λέγων καὶ ἐνθεάζων, ὃν ἐνόμισαν μάγον εἶναι, ἐπὶ λύμῃ τοῦ στρατοῦ πρὸς Πελοποννησίων ἀπεσταλμένον,

 τοῦ-

II. 8. 9. ejusque liberi. 3. Hi ad Naupactum classem parant.

τοῦτον βαλὼν ἀκοντίῳ. Ἱππότης δ' Φύλαντος τοῦ Ἀντιόχου τοῦ Ἡρακλέους ἐπιχὼν ἀπέκτεινεν. Οὗτος δὲ γενομένου τούτου, τὸ μὲν ναυτικὸν, διαφθειρομένων τῶν νεῶν, ἀπώλεσε· τὸ δὲ πεζὸν ἠτύχησε λιμῷ, καὶ διελύθη τὸ στράτευμα. Χρωμένου δὲ περὶ τῆς συμφορᾶς Τημένου, καὶ τοῦ θεοῦ διὰ τοῦ μάντεως γενέσθαι ταῦτα λέγοντος καὶ κελεύοντος φυγαδεῦσαι θέμις ἐστὶ τὸν ἀνελόντα, [καὶ διὰ τοῦτο δύο ἔτη] καὶ χρήσασθαι ἡγεμόνι τῷ τριοφθάλμῳ· τὸν μὲν Ἱππότην ἐφυγάδευσαν, τὸν δὲ τριόφθαλμον ἐζήτουν. καὶ περιτυγχάνουσιν Ὀξύλῳ τῷ Ἀνδραίμονος, ἐφ' ἵππου καθημένῳ, μονοφθάλμῳ· τὸν γὰρ ἕτερον τῶν ὀφθαλμῶν ἐκκεκοπτο τόξῳ· ἐπὶ φόνῳ γὰρ οὗτος φυγὼν εἰς Ἦλιν, καὶ ἐκεῖθεν εἰς Αἰτωλίαν, ἐνιαυτῷ [δὲ] διελ-

II, 8, 3. Oxylo duce, Tisameno victo, Peloponnesum occupant.

διελθόντος, ἐπανήρχετο. Συμβαλόντες οὖν τὸν χρησμὸν, τοῦτον ἡγεμόνα ποιοῦνται. καὶ συμβαλόντες τοῖς πολεμίοις, καὶ τῷ πεζῷ καὶ τῷ ναυτικῷ προτεροῦσι στρατῷ, καὶ Τισαμενὸν κτείνουσι τὸν Ὀρέστου. Θνήσκουσι δὲ συμμαχοῦντες αὐτοῖς οἱ Αἰγιμίου παῖδες, Πάμφυλος καὶ Δύμας.

Ἐπειδὴ δὲ κράτησαν Πελοποννήσου, τρεῖς ἱδρύσαντο βωμοὺς πατρῴου Διός· καὶ ἐπὶ τούτων ἔθυσαν καὶ ἐπληροῦντο τὰς πόλεις. πρώτη μὲν οὖν λῆξις, Ἄργος· δευτέρα Λακεδαίμων· τρίτη δὲ Μεσσήνη. κεκμηκόταν δὲ ὑδρίαν ὕδατος, ἔδοξε ψῆφον βαλεῖν ἕκαστος. Τήμενος οὖν, καὶ οἱ Ἀριστοδήμου παῖδες, Πρόκλης καὶ Εὐρυσθένης, ἔβαλον λίθους. Κρεσφόντης δὲ, βουλό-

II, 8. 4. Sortitione facta, Temenus Argos, Ariſtodemi filii, Euryſthenes et Procles, Spartam,

μενος Μεσσήνην λαχεῖν, γῆς ἐνέβαλε βῶλον. ταύτης δὲ διαλυθείσης, ἔδει τοὺς δύο κλήρους πρώτους ἀναφανῆναι. ἐλκυσθείσης δὲ πρώτης μὲν τῆς Τημένου, δευτέρας δὲ τῆς [κλήρου] τῶν Ἀριστοδήμου παίδων, Μεσσή-
5 νην ἔλαβε Κρεσφόντης. Ἐπὶ δὲ τοῖς βωμοῖς, οἷς ἔθυσαν, εὗρον σημεῖα κείμενα· οἱ μὲν λαχόντες Ἄργος [ἐπὶ τὸν ἴδιον] φρύνον· οἱ δὲ Λακεδαίμονα λαχόντες, δράκοντα· οἱ δὲ Μεσσήνην, ἀλώπεκα. περὶ δὲ τῶν σημείων ἔλεγον οἱ μάντεις, τοῖς μὲν τὸν φρύνον καταλαβοῦσιν, ἐπὶ τῆς πόλεως μένειν ἄμεινον· μὴ γὰρ ἔχειν ἀλκὴν πορευόμενον τὸ θηρίον. τοὺς δὲ δράκοντα καταλαβόντας, δεινοὺς ἐπιόντας ἔλεγον ἔσεσθαι· τοὺς δὲ τὴν ἀλώπεκα, δολίους.

Τή-

B. 8. 4. Cresphontes Messenen obtinent. 5. Earum civitatum insignia.

Τήμενος μὲν οὖν, παρατεμπόμενος τοὺς παῖδας Ἀγέλαον καὶ Εὐρύπυλον καὶ Καλλίαν, τῇ θυγατρὶ προσανοῖχεν Ὑρνηθοῖ, καὶ τῷ ταύτης ἀνδρὶ Δηϊφόντῃ· ὅθεν οἱ παῖδες πείθουσι Τιτᾶνας ἐπὶ μισθῷ τὸν πατέρα αὐτῶν φονεῦσαι. Γενομένου δὲ τοῦ φόνου, τὴν βασιλείαν ὁ στρατὸς ἔχειν ἐδικαίωσεν Ὑρνηθοῖ καὶ Δηϊφόντῃ. Κρεσφόντης δὲ οὐ πολὺν Μεσσήνης βασιλεύσας χρόνον, μετὰ δύο παίδων φονευθεὶς ἀπέθανε. Πολυφόντης δὲ ἐβασίλευσεν, αὐτῶν τῶν Ἡρακλειδῶν ὑπάρχων· καὶ τὴν τοῦ φονευθέντος γυναῖκα ἄκουσαν Μερόπην ἔλαβεν. ἀνῃρέθη δὲ καὶ οὗτος. τρίτον γὰρ ἔχουσα παῖδα Μερόπη καλούμενον Αἴπυτον, ἔδωκε τῷ ἑαυ-

---

II, 8, 5. Temeni et Cresphontis vitae exitus: huius mortem vitus Aepytus Polyphontem caedit.

ἑαυτῆς πατρὶ τρέφειν. οὗτος ἀνδρωθεὶς καὶ κρύφα κατελθὼν, ἔκτεινε Πολυφόντην καὶ τὴν πατρῴαν βασιλείαν ἀπέλαβεν.

ΑΠΟΛ-

ΑΠΟΛΛΟΔΩΡΟΥ
ΤΟΥ ΑΘΗΝΑΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ
ΒΙΒΛΙΟΘΗΚΗΣ

ΒΙΒΛΙΟΝ Γ.

Ἐπεὶ δὲ τὸ Ἰναχίειον διερχόμενοι γένος, τοὺς ἀπὸ Βήλου μεχρὶ τῶν Ἡρακλειδῶν δεδηλώκαμεν, ἑξομένως λέγωμεν καὶ τὰ περὶ Ἀγήνορος. Ὡς γὰρ ἡμῖν λέλεκται, δύο Λιβύη ἐγέννησε παῖδας ἐκ Ποσειδῶνος, Βῆλον καὶ Ἀγήνορα. Βῆλος μὲν οὖν βασιλεύων Αἰγυπτίων τοὺς προειρημένους ἐγέννησεν. Ἀγήνωρ δὲ παραγενόμενος εἰς τὴν Εὐρώπην, γαμεῖ Τηλεφάσσαν καὶ τεκνοῖ θυγατέρα μὲν Εὐρώπην, παῖδας δὲ Κάδ- Cap. I, 1

μον

III, I, 1. Alter ex Inachi ſtirpe Agenor, Beli frater.

μον καὶ Φοίνικα καὶ Κίλικα. Τινὲς δὲ Εὐρώπην οὐκ Ἀγήνορος ἀλλὰ Φοίνικος λέγουσι. Ταύτης Ζεὺς ἐρασθεὶς, πίπτει διὰ τῆς θαλάσσης Ῥόδου ἀποπλέων ταῦρος, ὃς χειροήθης γενόμενος, ἐπιβιβασθεῖσαν διὰ τῆς θαλάσσης ἐκόμισεν εἰς Κρήτην· ἡ δὲ, ἐκεῖ συνευνασθέντος αὐτῇ Διὸς, ἐγέννησε Μίνωκ, Σαρπηδόνα, Ῥαδάμανθυν. καθ' Ὅμηρον δὲ Σαρπηδὼν ἐκ Διὸς καὶ Λαοδαμείας τῆς Βελλεροφόντου. Ἀφανοῦς δὲ Εὐρώπης γενομένης, ὁ πατὴρ αὐτῆς Ἀγήνωρ ἐπὶ ζήτησιν ἐξέπεμψε τοὺς παῖδας, εἰπὼν μὴ πρότερον ἀναστρέφειν πρὶν ἂν ἐξεύρωσιν Εὐρώπην. Συνεξῆλθε δὲ ἐπὶ τὴν ζήτησιν αὐτῆς Τηλεφάσσα ἡ μήτηρ, καὶ Θάσος ὁ Ποσειδῶνος· ὡς δὲ Φερεκύδης φησὶ, Κίλικος

III, 1, 1. Europae raptus, et progenies. Missi ad eam quaerendam Phoenix, Cilix, Cadmus, Telephassa et Thasus,

σας. Ὡς δὲ πᾶσαν τοιοῦμενοι ζήτησιν εὑρεῖν ἦσαν Εὐρώπην ἀδύνατοι, τὴν εἰς εἶκον ἀναπεμιδὴν ἀποχνόντες, ἄλλος ἀλλαχοῦ κατῴκισάν, Φοίνιξ μὲν Φοινίκην· Κίλιξ δὲ, Φοινίκης πλησίον, καὶ πᾶσαν τὴν ὑφ' ἑαυτοῦ καιμένην χώραν, ποταμῷ σύνεγγυς, Πυράμῳ, Κιλικίαν ἐκάλεσε· Κάδμος δὲ καὶ Τηλεφάσσα ἐν Θράκῃ κατῴκησάν. ἀμφίων δὲ καὶ Θάσος ἐν Θρᾴκῃ κτίσας πόλιν, Θάσον, κατῴκησαν.

Εὐρώπην δὲ γήμας Ἀστερίων ὁ Κρὴς 2
σῶν δυνάστης, τοὺς ἐκ ταύτης παῖδας ἐτρέφετο. Οἱ δὲ, ὡς ἐτελειώθησαν, πρὸς ἀλλήλους ἐστασίασαν· ἰσχυρὸς γὰρ ἄρτι παῖδες, ὃς ἐκαλεῖτο Μίλητος· Ἀπόλλωνος δὲ ἦν, καὶ Ἀρείας τῆς Κλεάρχου, τοῦ δὲ παιδὸς πρὸς Σαρπη-

III, 1, 1. diversas utrasque infidelis. 2. Asterion Europam ducit. Minos, dissidio propter Miletum pueram orto, fratres fugat.

πηδέναι μᾶλλον οἰκείας ἔχοντας, τοὺς μὴ σας Μίνως ἐκρατέρησεν. Οἱ δὲ Φεύγουσι, καὶ Μίλητος μὲν, Καρίᾳ προσχὼν, ἐκεῖ πόλιν ἀφ' ἑαυτοῦ ἔκτισε Μίλητον· Σαρπηδὼν δὲ, συμμαχήσας Κίλιξι, πρὸς Λυκίους ἔχοντι πόλεμον, ἐπὶ μέρει τῆς χώρας, Λυκίας ἐβασίλευσε· καὶ αὐτῷ εἴδεσι Ζεὺς ἐπὶ τρεῖς γενεὰς ζῆν. Ἔνιοι δὲ αὐτὸν ἁρπασθῆναι λέγουσιν Ἀτυμνίου, τοῦ Διὸς καὶ Κασσιεπείας, καὶ διὰ τοῦτον στασιάσαι. Ῥαδάμανθυς δὲ, τοὺς νησιώτας νομοθετῶν, αὖθις φυγὼν, εἰς Βοιωτίαν Ἀλκμήνην γαμεῖ. καὶ μεταλλάξας, ἐν ᾅδου μετὰ Μίνωος δικάζει. Μίνως δὲ, Κρήτην κατοικῶν, ἔγραψε νόμους. καὶ γήμας Πασιφάην τὴν Ἡλίου καὶ Περσηίδος, ὡς Ἀσκληπιάδης φησὶ, Κρήτην τὴν

III, 1, 2. Sarpedon in Lycia regnat. Rhadamanthus, Boeotiam adit. Minos leges fert Cretensibus.

τὴν Ἀστερίου θυγατέρα, παῖδας μὲν ἐτέκνωσε, Κατρέα, Δευκαλίωνα, Γλαῦκον, Ἀνδρόγεων· θυγατέρας δὲ Ἀκάλλην, Ξενοδίκην, Ἀριάδνην, Φαίδραν. Ἐκ Παρείας δὲ Νύμφης Εὐρυμέδοντα, Νηφαλίωνα, Χρύσην, Φιλόλαον· ἐκ δὲ Δεξιθέας, Εὐξάνθιον.

Ἀστερίωνος δὲ ἄπαιδος ἀποθανόντος, Μίνως βασιλεύειν Θήλων Κρήτης ἐκωλύετο. Φήσας δὲ παρὰ θεῶν τὴν βασιλείαν εἰληφέναι, χάριν τοῦ πιστευθῆναι, ὅφη, εἴτι ἂν εὔξηται, γενέσθαι. καὶ Ποσειδᾶνι θύων, ηὔξατο ταῦρον ἀναφανῆναι ἐκ τῶν βυθῶν, ὑποσχόμενος καταθύσειν τὸν φανέντα. τοῦ δὲ Ποσειδῶνος ταῦρον ἀνέντος καὶ πᾶν διαπρεπῆ, τὴν βασιλείαν παρέλαβε, τὸν δὲ ταῦρον εἰς τὰ βουκόλια πέμψας, ἔθυ- 3

II. 1, 2. Eius liberi. 3. Regnum suscipit, tauro a Neptuno mari emisso;

ἔδυσεν ἕτερον. Θαλάσσοκρατήσας δὲ πρῶτος πασῶν τῶν νήσων σχεδὸν
4 ὑπῆρξεν. Ὀργισθεὶς δὲ αὐτῷ Ποσειδῶν ὅτι μὴ κατέδυσε τὸν ταῦρον, τοῦτον μὲν ἐξηγρίωσε· Πασιφάην δὲ ἐλθεῖν εἰς ἐπιθυμίαν αὐτοῦ παρεσκεύασεν. Ἡ δὲ, ἐρασθεῖσα τοῦ ταύρου, σύνεργον λαμβάνει Δαίδαλον, ὃς ἦν ἀρχιτέκτων, πεφευγὼς ἐξ Ἀθηνῶν ἐπὶ
5 Φόνῳ. Οὗτος ξυλίνην βοῦν ἐπὶ τροχῶν κατασκευάσας, καὶ ταύτην λεβὴν καὶ νωλάνας ἔσωθεν, ἐκδείρας τε βοῦν, τὴν δορὰν περιέβαλε, καὶ θεὶς ἐν ᾧπερ εἴθιστο ὁ ταῦρος λειμῶνι βόσκεσθαι, τὴν Πασιφάην ἐνεβίβασεν. ἐλθὼν δὲ ὁ ταῦρος, ὡς ἀληθινῇ βοΐ συνῆλθεν. Ἡ δὲ Ἀστερίων ἐγέννησε τὸν καλούμενον Μινώταυρον, οὗτος εἶχε ταύρου πρόσωπον, τὰ δὲ λοιπὰ ἀνδρός· Μίνως δὲ ἐν τῷ λαβυρίνθῳ κατά τινας χρη-

III, 1, 4. hunc amat Pasiphae: et

χρησμοὺς καταπλείσας αὐτὸν ἐφύλαττεν.
Ἦν δὲ ὁ λαβύρινθος, ὃν Δαίδαλος κατεσκεύασεν, εἴκημα παμπλήθεις πολυπλόκοις πλανῶν τὴν ἔξοδον. Τὰ μὲν οὖν περὶ Μινωταύρου καὶ Ἀνδρόγεω καὶ Φαίδρας καὶ Ἀριάδνης ἐν τοῖς περὶ Θησέως ὕστερον ἐροῦμεν.

Κατρέως δὲ τοῦ Μίνωος Ἀερόπη καὶ Κλυμένη καὶ Ἀπημοσύνη, καὶ Ἀλθημένης υἱὸς, γίνονται. Χρωμένῳ δὲ Κατρεῖ περὶ καταστροφῆς τοῦ βίου, ὁ θεὸς ἔφη, ὑπὸ ἑνὸς τῶν παίδων τελευτήσεσθαι. Κατρεὺς μὲν οὖν ἀπεκρύβετο τοὺς χρησμούς. Ἀλθημένης δὲ ἀκούσας, καὶ δείσας μὴ φονεὺς γένηται τοῦ πατρὸς, ἄρας ἐκ Κρήτης μετὰ τῆς ἀδελφῆς Ἀπημοσύνης, προσίσχει τινὶ τόπῳ τῆς Ῥόδου, καὶ κατασχὼν Κρητηνίαν ὠνόμασεν. Ἀναβὰς δὲ ἐπὶ τὸ Ἀταβύριον κα-

Cap. II, 1

III, 1, 4 edit Minotaurum. 2, 1. Catrei liberi. Althaemenes fugit in Rhodum;

καλεύμενον ἔρος, ἐθαύμασε τὰς πέριξ νήσους. κατιδὼν δὲ καὶ Κρήτην, καὶ τῶν πατρώων ὑπομνησθεὶς θεῶν, ἱδρύσατο βωμὸν Ἀταβυρίου Διός. Μετ' οὐ πολὺ δὲ, τῆς ἀδελφῆς αὐτόχειρ ἐγένετο. Ἑρμῆς γὰρ αὐτῇ ἐρασθείς, ὡς φεύγουσαν αὐτὴν καταλαβεῖν οὐκ ἠδύνατο, (περιῆν γὰρ αὐτοῦ τῷ τάχει τῶν ποδῶν) κατὰ τῆς ὁδοῦ βύρσας ὑπέστρωσε νεοδάρτας· ἐφ' ἃς ὀλισθήσασα, ἡνίκα ἀπὸ τῆς Κρήτης ἐπανήει, φθείρεται, καὶ τῷ ἀδελφῷ μηνύει τὸ γεγονός. Ὁ δὲ, σκῆψιν νομίσας εἶναι τὸν θεὸν,
2 λαὲξ ἐγθορὼν ἀπέκτεινεν. Ἀερόπην δὲ καὶ Κλυμένην Κατρεὺς Ναυπλίῳ δίδωσιν εἰς ἀλλοδαπὰς ἠπείρους ἀπεμπωλήσαι. τούτων Ἀερόπην μὲν ἔγημε Πλεισθένης· καὶ παῖδας Ἀγαμέμνονα καὶ Μενέλαον ἔτεκε. Κλυμένην δὲ γαμεῖ Ναύ-

III, 2, 1. sororem Apemosynen necat. 2. Aerope et Clymene, sorores, Nauplio tradunter.

Ναύπλιος, καὶ τέκνων πατὴρ γίνεται Οἴακος καὶ Παλαμήδους.

Κατρεὺς δὲ ὕστερον γήρᾳ κατεχόμενος, ἐπέθει τὴν βασιλείαν Ἀλθημένει τῷ παιδὶ παραδοῦναι· καὶ διὰ τοῦτο ἦλθεν εἰς Ῥόδον. Ἀποβὰς δὲ τῆς νεὼς σὺν τοῖς ἥρωσι κατά τινα τῆς νήσου τόπον ἔρημον, ἠλαύνετο ὑπὸ τῶν βουκόλων, λῃστὰς ἐμβεβληκέναι δοκούντων. καὶ μὴ δυναμένων ἀκοῦσαι λέγοντος αὐτοῦ τὴν ἀλήθειαν διὰ τὴν ἀραυγὴν τῶν κυνῶν, ἀλλὰ βαλλόντων κἀκεῖνον, παραγενόμενος Ἀλθημένης, ἀκοντίσας ἀπέκτεινεν ἀγνοῶν Κατρέα. Μαθὼν δὲ ὕστερον τὸ γεγονὸς, εὐξάμενος, ὑπὸ χάσματος ἐκρύβη.

Δευκαλίωνι δὲ ἐγένοντο Ἰδομενεύς τε καὶ Κρήτη καὶ νόθος καὶ Μόλος. Cap. III, 1

M 3 Γλαῦ-

III. 2, 2. Catreus ab Althaemene filio occiditur 3, 1. Deucalionis liberi.

Γλαῦκος δὲ, ἔτι νήπιος ὑπάρχων, μῦν διώκων εἰς μέλιτος πίθον πεσὼν ἀπέθανεν. Ἀφανοῦς δὲ ὄντος αὐτοῦ, Μίνως πολλὴν ζήτησιν ποιησάμενος, περὶ τῆς εὑρήσεως ἐμαντεύετο. Κούρητες δὲ εἶπον αὐτῷ, τριχρώματον ἐν ταῖς ἀγέλαις ἔχειν βοῦν· τὸν δὲ τὴν ταύτης θέαν ἄριστα εἰκάσαι δυνηθέντα, καὶ ζῶντα τὸν παῖδα ἀποδώσειν. Συγκληθέντων δὲ τῶν μάντεων, Πολύϊδος, ὁ Κοιρανοῦ, τὴν χρόαν τῆς βοὸς εἴκασε βάτου καρπῷ· καὶ ζητεῖν τὸν παῖδα ἀναγκασθεὶς διά τινος μαντείας ἀνεῦρε. Λέγοντος δὲ Μίνωος, ὅτι δεῖ καὶ ζῶντα ἀπολαβεῖν αὐτὸν, ἀπεκλείσθη σὺν τῷ νεκρῷ. Ἐν ἀμηχανίᾳ δὲ πολλῇ τυγχάνων, εἶδε δράκοντα ἐπὶ τὸν νεκρὸν ἰόντα· τοῦτον βαλὼν λίθῳ ἀπέκτεινε, δείσας μὴ ἂν αὐτὸς τελευτή-

III, 3, 1. Glaucus a Polyido in vitam revocatus.

τήσαι, εἰ τούτῳ συμπάθοι. ἔρχεται δὲ ἕτερος ὀράκων· καὶ θεασάμενος νεκρὸν τὸν πρῶτον, ἄπεισιν· εἶτα ὑποστρέφει πολιὰν κομίζων, καὶ ταύτην ἐπιτίθησιν ἐπὶ τῶν τὸ τοῦ ἑτέρου σῶμα· ἐπιτεθείσης δὲ τῆς πολιᾶς, ἀνέστη. Θεασάμενος δὲ Πολύϊδος καὶ θαυμάσας, τὴν αὐτὴν πόαν προσενεγκὼν τῷ τοῦ Γλαύκου σώματι, ἀνέστησεν. Ἀπολαβὼν δὲ Μίνως τὸν παῖδα, οὐδ' ῥᾴτως εἰς Ἄργος ἀπιέναι τὸν Πολύϊδον εἴα, πρὶν ἢ τὴν μαντείαν διδάξαι τὸν Γλαῦκον. Ἀναγκασθεὶς δὲ ὁ Πολύϊδος διδάσκει, καὶ ἐπεὶ δὴ ἀπέπλει, κελεύει τὸν Γλαῦκον εἰς τὸ στόμα ἐπιπτύσαι· καὶ τοῦτο ποιήσας Γλαῦκος τὴν μαντείαν ἐπελάθετο. Τὰ μὲν οὖν περὶ τῶν τῆς Εὐρώπης ἀπογόνων μέχρι τοῦδέ μοι λελέχθω. 2

III, 3. 2. munere vaticinandi donatur et privatur.

Cap. IV, 1 Κάδμος δὲ, ἀποθανοῦσαν Θέ-
ψας Τηλεφάσσαν, ὑπὸ Θρᾳκῶν ξε-
νισθεὶς, ἦλθεν εἰς Δελφοὺς περὶ τῆς
Εὐρώπης πυνθανόμενος. ὁ δὲ θεὸς
εἶπε, περὶ μὲν Εὐρώπης μὴ πολυπρα-
γμονεῖν, χρῆσθαι δὲ παθοδηγῷ βοΐ, καὶ
πόλιν κτίζειν ἔνθα ἂν αὐτὴ πέσῃ κα-
μοῦσα. Τοιοῦτον λαβὼν χρησμὸν, διὰ
Φωκέων ἐπορεύετο. εἶτα βοῒ συντυ-
χὼν ἐν τοῖς Παλαίγοντος βουκολίοις,
ταύτῃ κατόπισθεν εἵπετο. ἡ δὲ, διεξ-
ιοῦσα Βοιωτίαν, ἐπλίθη, πόλις ἔνθα
ἡμῖν εἰσὶ Θῆβαι. Βουλόμενος δὲ Ἀθηνᾷ
καθιδῦσαι τὴν βοῦν, πέμπει τινὰ τῶν
μεθ' ἑαυτοῦ ληψόμενον ἀπὸ τῆς Ἀρείας
κρήνης ὕδωρ· Φρουρῶν δὲ τὴν κρήνην
δράκων, ὃν ἐξ Ἄρεος εἶπον τινὲς γε-
γονέναι, τοὺς πλείονας τῶν πεμφθέν-
των διέφθειρεν. Ἀγανακτήσας δὲ
Κά-

III, 4, 1. Cadmus ex oraculo bove duce in Boeotiam venit,

Κάδμος, κτείνει τὸν δράκοντα· καὶ, τῆς Ἀθηνᾶς ὑποθεμένης, τοὺς ὀδόντας αὐτοῦ σπείρει. τούτων δὲ σπαρέντων, ἐξανέτειλαν ἐκ γῆς ἄνδρες ἔνοπλοι, οὓς ἐκάλεσαν Σπαρτούς. Οὗτοι δὲ ἀπέκτειναν ἀλλήλους, οἱ μὲν, εἰς ἔριν ἀκούσιον ἐλθόντες, οἱ δέ, ἀλλήλους ἀγνοοῦντες. Φερεκύδης δέ φησιν, ὅτι Κάδμος, ἰδὼν ἐκ γῆς ἀναφυομένους ἄνδρας ἐνόπλους, ἐπ' αὐτοὺς ἔβαλε λίθους· οἱ δὲ, ὑπ' ἀλλήλων νομίζοντες βάλλεσθαι, εἰς μάχην κατέστησαν. Περιεσώθησαν δὲ πέντε· Ἐχίων, Οὐδαῖος, Χθόνιος, Ὑπερήνωρ, Πέλωρ. Κάδμος δὲ, ἀνθ' 2 ὧν ἔκτεινεν, ἀίδιον ἐνιαυτὸν ἐθήτευσεν Ἄρει. ἦν δὲ ὁ ἐνιαυτὸς τότε ὀκτὼ ἐτῶν.

Μετὰ δὲ τὴν θητείαν Ἀθηνᾷ αὐτῷ βασιλείαν κατεσκεύασε. Ζεὺς ἔδωκεν

III, 4, 1. Cadmeam condit. Ex draconis occisi dentibus Sparti nati. 2. Cadmi

αὐτῷ γυναῖκα Ἁρμονίαν, Ἀφροδίτης καὶ Ἄρεος θυγατέρα. καὶ πάντες θεοὶ καταλιπόντες τὸν οὐρανὸν, ἐν τῇ Καδμείᾳ τὸν γάμον εὐωχούμενοι ἀνύμνησαν. Ἔδωκε δὲ αὐτῇ Κάδμος πέπλον, καὶ τὸν Ἡφαιστότευκτον ὅρμον, ὃν ὑπὸ Ἡφαίστου λέγουσί τινες δοθῆναι Κάδμῳ, Φερεκύδης δὲ ὑπὸ Εὐρώπης· ἣν παρὰ Διὸς αὐτὴν λαβεῖν. Γίνονται δὲ Κάδμῳ θυγατέρες μὲν Αὐτονόη, Ἰνὼ, Σεμέλη, Ἀγαυὴ, παῖς δὲ Πολύδωρος. Ἰνὼ μὲν οὖν Ἀθάμας ἔγημεν· Αὐτονόην δὲ Ἀριστταῖος· Ἀγαυὴν, Ἐχίωνι.

3 Σεμέλης δὲ Ζεὺς ἐρασθεὶς [Ἥρας] κρύφα συνευνάζεται. ἡ δὲ, ἐξαπατηθεῖσα ὑπὸ Ἥρας, καταινεύσαντος αὐτῇ Διὸς πᾶν τὸ αἰτηθὲν ποιήσειν, αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν οἷος ἦλθε μνηστευόμενος Ἥραν. Ζεὺς δὲ, μὴ δυνάμενος ἀνα-

III, 4, 2. et Harmoniae nuptiae, et progenies.
3. Semele

ἀναιρεῖται, παραγίνεται εἰς τὸν Θάλαμον αὐτῆς ἐφ' ἅρματος, ἀστραπαῖς ὁμοῦ καὶ βρονταῖς, καὶ πρανυὸν ἴησιν. Σεμέλης δὲ διὰ τὸν φόβον ἐκλιπούσης, ἐξαμηνιαῖον βρέφος ἐξαμβλωθὲν ἐκ τοῦ πυρὸς ἁρπάσας, ἐνέρραψε τῷ μηρῷ. Ἀποθανούσης δὲ Σεμέλης, αἱ λοιπαὶ Κάδμου θυγατέρες διήνεγκαν λόγον, συνεννῆσθαι θυητῷ τινι Σεμέλην, καὶ καταψεύσασθαι Διός, καὶ διὰ τοῦτο ἐπεραυνωθῆ. κατὰ δὲ τὸν χρόνον τὸν καθήκοντα, Διόνυσον γεννᾷ Ζεὺς λύσας τὰ ῥάμματα· καὶ δίδωσιν Ἑρμῇ. ὁ δὲ κομίζει πρὸς Ἰνὼ καὶ Ἀθάμαντα, καὶ πείθει τρέφειν ὡς κόρην.

Ἀγανακτήσασα δὲ Ἥρα, μανίαν αὐτοῖς ἐνέβαλε. καὶ Ἀθάμας μὲν, τὸν πρεσβύτερον παῖδα Λέαρχον ὡς ἔλα-

φον

III, 4, 3. conflagrat. Bacchus ex ea ſublatus naſcitur.

Φον θηρεύσας ἀπέκτεινεν· Ἰνὼ δὲ, τὸν Μελικέρτην εἰς πεπυρωμένον λέβητα βίψασα, εἶτα βαστάσασα, μετὰ νεκροῦ τοῦ παιδὸς ἥλατο κατὰ βυθῶν· καὶ Λευκοθέα μὲν αὐτὴ καλεῖται, Παλαίμαν δὲ, ὁ παῖς· οὕτως ὀνομασθέντες ὑπὸ τῶν πλεόντων· τοῖς χειμάζομένοις γὰρ βοηθοῦσιν. Ἐτέθη δὲ ἐπὶ Μελικέρτῃ ἀγὼν τῶν Ἰσθμίων, Σισύφου θέντος.

Διόνυσον δὲ Ζεὺς εἰς ἔριφον ἀλλάξας, τὸν Ἥρας θυμὸν ἔκλεψε· καὶ λαβὼν αὐτὸν Ἑρμῆς, πρὸς Νύμφας ἐκόμισεν ἐν Νύσσῃ τῆς Ἀσίας κατοικούσας, ἃς ὕστερον Ζεὺς καταστερίσας ὠνόμασεν Ὑάδας.

4 Αὐτονόης δὲ καὶ Ἀριστάίου παῖς Ἀκταίων ἐγένετο, ὃς τραφεὶς παρὰ Χείρωνι κυνηγὸς ἐδιδάχθη, καὶ ὕστερον κατε-

---

III, 4, 3. Eius nütricem Ino Iuno ulciſcitur. Nymphae Nyſeides eum educant. 4. Actaeon

κατεβρώθη ἐν τῷ Κιθαιρῶνι ὑπὸ τῶν ἰδίων κυνῶν, καὶ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὡς μὲν οὖν Ἀκουσίλαος λέγει, μηνίσαντος τοῦ Διὸς, ὅτι ἐμνηστεύσατο Σεμέλην· ὡς δὲ οἱ πλείονες, ὅτι τὴν Ἄρτεμιν λουομένην εἶδε. καὶ φασὶ τὴν θεὸν παραχρῆμα αὐτοῦ τὴν μορφὴν εἰς ἔλαφον ἀλλάξαι, καὶ τοῖς ἑπομένοις αὐτῷ πεντήκοντα κυσὶν ἐμβαλεῖν λύσσαν, ὑφ' ὧν κατὰ ἄγνοιαν ἐβρώθη. ἀπολομένου δὲ Ἀκταίονος, οἱ κύνες ἐπιζητοῦντες τὸν δεσπότην, κατωρύοντο, καὶ ζήτησιν ποιούμενοι, παρεγένοντο ἐπὶ τὸ τοῦ Χείρωνος ἄντρον· ὃς εἴδωλον κατεσκεύασεν Ἀκταίονος, ὃ καὶ τὴν λύπην αὐτῶν ἔπαυσε. a)

Διό-

a) Τὰ ὀνόματα τῶν Ἀκταίονος κυνῶν· ἐξῶν οὗτοι ***
Δὴ νῦν καλὸν σῶμα περισταδὸν, ἠΰτε θῆρες,
Τοῦδε δάσαντο κύνες κρατεροί. πέλας Ἄρκυα πρώτη.

— μετὰ

III, 4. 4. in cernum mutatus.

Cap. V, 1 Διόνυσος δὲ εὑρετὴς ἀμπέλου γε-
νόμενος, Ἥρας μανίαν αὐτῷ ἐμβαλούσης, περιπλανᾶται Αἴγυπτόν τε καὶ
Συρίαν. καὶ τὸ μὲν πρῶτον Πρωτεὺς
αὐτὸν ὑποδέχεται βασιλεὺς Αἰγυπτίων,
αὖθις δὲ εἰς Κύβελα τῆς Φρυγίας ἀφι-
κνεῖται· κἀκεῖ καθαρθεὶς ὑπὸ Ῥέας, καὶ
τὰς τελετὰς ἐκμαθών, καὶ λαβὼν παρ'
ἐκείνης τὴν στολήν, [ἐπ' Ἰνδοὺς] διὰ
τῆς Θρᾴκης ἤπειγετο. Λυκοῦργος δὲ,
παῖς Δρύαντος, Ἠδωνῶν βασιλεύων,
Στρυμόνα ποταμὸν οἱ παροικοῦσι, πρᾶ-
τος

— μετὰ ταύτην, ἕλκιμα τέκνα·
Λυγκεὺς καὶ βάντης πόδας ἀνετός, ἠδ' Ἀμάρυνθος.
Καὶ τοὺς ὀρμαστὶ διήνεγκεν, ὡς κατέλεξα.
Καὶ τότε Ἀκταίων ὕπνωσεν Διὸς ἐννεσίῃσι.
Πρῶτοι γὰρ μέλαν αἷμα πίον σφετέροιο ἄνακτος
Σπαρτός τ' ὢν Ἄργός τε, Βερῆς τ' αἰψηροκέλευθος,
[Τοῦ δ' Ἀκταίωνος πρῶτοι φάγον, αἷμα δ' ὕλαυον]
Τοὺς δὲ μετ' ἄλλοι πάντες ἐπέσευθεν ἰμμεμαῶτες,
[Ἀρχαλέων ἰδυνῶν ἄκος ὑμμένοι ἀνθρώποισιν.]

III, 5, 1. Errores Bacchi. Lycurgi

τος ὑβρίσας ἐξέβαλεν αὐτόν. καὶ Διόνυσος μὲν εἰς Θάλασσαν πρὸς Θέτιν τὴν Νηρέως κατέφυγε· Βάκχαι δὲ ἐγένοντο αἰχμάλωτοι καὶ τὸ συνεπόμενον Σατύρων πλῆθος αὐτῷ. αὖθις δὲ αἱ Βάκχαι ἐλεύθησαν ἐξαίφνης· Λυκούργῳ δὲ μανίαν ἐποίησε Διόνυσος. ὁ δὲ, μεμηνὼς, Δρύαντα τὸν πατέρα, ἀμπέλου νομίζων κλῆμα κόπτειν, πελέκει πλήξας ἀπέκτεινε, καὶ ἀκροτηριάσας ἑαυτὸν, ἐσωφρόνησε. τῆς δὲ γῆς ἀκάρπου μενούσης, ἔχρησεν ὁ θεὸς, καρποφορήσειν αὐτὴν, ἂν θανατωθῇ Λυκοῦργος. Ἡδωνοὶ δὲ ἀκούσαντες, εἰς τὸ Παγγαῖον αὐτὸν ἀπαγαγόντες ὄρος, ἔδησαν· κἀκεῖ κατὰ Διονύσου βούλησιν ὑπὸ ἵππων διεφθάρείς ἀπέθανε.

Διελθὼν δὲ Θρᾴκην [καὶ τὴν Ἰνδικὴν ἅπασαν, στήλας ἐκεῖ στήσας,] ἦκεν εἰς Θήβας· καὶ τὰς γυναῖκας ἠνάγκασε καταλιπούσας τὰς οἰκίας βακχεύειν

III, 5, 1. interitus, mox

2 αὐτὴν ἐν τῷ Κιθαιρῶνι. Πενθεὺς δὲ, γυναῖκας ἐξ Ἀγαυῆς Ἐχίονι, παρὰ Κάδμου εἰληφὼς τὴν βασιλείαν, διεκώλυε ταῦτα γίνεσθαι. καὶ παρωργισμένος εἰς Κιθαιρῶνα τῶν Βακχῶν κατάσκοπος, ὑπὸ τῆς μητρὸς Ἀγαυῆς κατὰ μανίαν ἐμελίσθη. ἐνόμισε γὰρ αὐτὸν θηρίον εἶναι. Δείξας δὲ Θηβαίοις ὅτι θεός ἐστιν, ἦκεν εἰς Ἄργος· κἀκεῖ πάλιν αὐ τιμώντων αὐτὸν, ἐξέμηνε τὰς γυναῖκας. αἱ δὲ, ἐν τοῖς ὄρεσι τοὺς ἐπιμαστιδίους ἔχουσαι παῖδας, τὰς σάρκας
3 αὐτῶν ἐσιτοῦντο. Βουλόμενος δὲ ἀπὸ τῆς Ἰκαρίας εἰς Νάξον διακομισθῆναι, Τυρρήνων λῃστρικὴν ἐμισθώσατο τριήρη. οἱ δὲ, αὐτὸν ἐνθέμενοι, Νάξον μὲν παρέπλεον, ἤγοντο δὲ εἰς Ἀσίαν ἀπεμπωλήσοντες. ὁ δὲ τὸν μὲν ἑτὸν

III, 5, 2 Penthei dilaniatio, et Argiuarum insania. 3. Tyrrheni praedones in delphines mutati

ἱστὸν καὶ τὰς κώπας ἐποίησεν ὄφεις, τὸ δὲ σκάφος ἔπλησε αἰσσοῦ καὶ φῶς αὐλῶν· οἱ δὲ, ἐμμανεῖς γενόμενοι, ματὰ τῆς θαλάττης ἤλυγον καὶ ἐγένοντο δελφῖνες. Ὡς δὲ, μαθόντες αὐτὸν θεὸν, ἄνθρωποι ἐτίμων· ὁ δὲ, ἀνεγαγὼν ἐξ ᾅδου τὴν μητέρα, καὶ προσαγορεύσας Θυώνην, μετ' αὐτῆς εἰς οὐρανὸν ἀνῆλθεν.

Ὁ δὲ Κάδμος μετὰ Ἁρμονίας Θήβας ἐκλιπὼν, πρὸς Ἐγχέλεας παραγίνεται. τούτοις δὲ ὑπὸ Ἰλλυριῶν πολεμουμένοις ὁ θεὸς ἔχρησεν, Ἰλλυριῶν κρατήσειν, ἐὰν ἡγεμόνα Κάδμον καὶ Ἁρμονίαν ἔχωσιν. οἱ δὲ, ποισθέντες, ποιοῦνται κατὰ Ἰλλυριῶν ἡγεμόνας τούτους, καὶ κρατοῦσι. καὶ βασιλεύει Κάδμος Ἰλλυριῶν, καὶ παῖς Ἰλλύριος αὐ-

τῷ

III, 5, 3. Bacchus Semelen in coelum educit. 4. Cadmus Illyriis victis regnat.

τῷ γίνεται. αὖθις δὲ μετὰ Ἁρμονίας εἰς δράκοντα μεταβαλὼν, εἰς Ἠλύσιον πεδίον ὑπὸ Διὸς ἐπετέμφθησαν.

5 Πολύδωρος δὲ, Θηβῶν βασιλεὺς γενόμενος, Νυκτηΐδα γαμεῖ, Νυκτέως τοῦ Χθονίου θυγατέρα, καὶ γεννᾷ Λάβδακον. οὗτος ἀπώλετο μετὰ Πενθέα, ἐκείνῳ φρονῶν παραπλήσια. Καταλιπόντος δὲ Λαβδάκου παῖδα ἐνιαυσιαῖον Λάϊον, τὴν ἀρχὴν ἀφείλετο Λύκος, ἕως οὗτος ἦν παῖς, ἀδελφὸς ὢν Νυκτέως. ἀμφότεροι δὲ ἀπὸ Εὐβοίας φυγόντες, ἐπεὶ Φλεγύαν ἀπέκτειναν τὸν Ἄρεος καὶ Χρύσης τῆς Βοιωτίδος, Συρίαν κατῴκουν, καὶ, διὰ τὴν πρὸς Πενθέα οἰκειότητα, ἐγεγόνεισαν πολῖται. αἱρεθεὶς οὖν Λύκος πολέμαρχος ὑπὸ Θηβαίων, ἐπετίθετο τῇ δυναστείᾳ, καὶ βασιλεύσας ἔτη εἴκοσι, φο-

III, 5, 5. Polydorus Thebis regnat, tum Labdacus, hinc Lycus.

φονευθεὶς ὑπὸ Ζήθου καὶ Ἀμφίονος ἀνήσκει δι' αἰτίαν τήνδε· Ἀντιόπη θυγάτηρ ἦν Νυκτέως τοῦ Χθονὸς συνῆλθεν, ἡ δὲ, ὡς ἔγκυος ἐγένετο, τοῦ πατρὸς ἀπειλοῦντος, εἰς Σικυῶνα ἀπεδιδράσκει πρὸς Ἐπωπέα καὶ τούτῳ γαμεῖται. Νυκτεὺς δὲ ἀθυμήσας ἑαυτὸν φονεύει, δοὺς ἐντολὴν Λύκῳ παρὰ Ἐπωπέως καὶ παρὰ Ἀντιόπης λαβεῖν δίκας. Ὁ δὲ, στρατευσάμενος Σικυῶνα χειροῦται· καὶ τὸν μὲν Ἐπωπέα κτείνει, τὴν δὲ Ἀντιόπην ἠγάγετο αἰχμάλωτόν. ἡ δὲ, ἀγομένη δύο γεννᾷ παῖδας ἐν Ἐλευθεραῖς τῆς Βοιωτίας, οὓς ἐκτεθέντας βουκόλος ἀναιρεῖται, καὶ τὸν μὲν καλεῖ Ζήθον, τὸν δὲ Ἀμφίονα. Ζήθου μὲν οὖν ἐπεμελεῖτο βουφορβίαν, Ἀμφίων δὲ κιθαρῳδίαν ἤσκει, δόντος αὐτῷ λύραν Ἑρμοῦ. Ἀντιόπην δὲ ἠνίζετο Λύκου καθαιρέσας, καὶ ἡ τούτου γυνὴ

III, 5, 5. Antiopes iniuriae filii Zethus

γυνὴ Δίρκη· λαθοῦσα δέ ποτε, τῶν δεσμῶν αὐτομάτως λυθέντων, ἧκε ἐπὶ τῶν παίδων ἔπαυλιν, δεχθῆναι πρὸς αὐτῶν θέλουσα. οἱ δὲ, ἀναγνωρισάμενοι τὴν μητέρα, τὸν μὲν Λύκον κτείνουσι· τὴν δὲ Δίρκην δήσαντες ἐκ ταύρου θανοῦσαν ῥίπτουσιν εἰς κρήνην τὴν ἀπ' ἐκείνης καλουμένην Δίρκην. παραλαβόντες δὲ τὴν δυναστείαν, τὴν μὲν πόλιν ἐτείχισαν, ἐπακολουθησάντων τῇ Ἀμφίονος λύρᾳ τῶν λίθων· Λάϊον δὲ ἐξέβαλον. Ὁ δὲ, ἐν Πελοποννήσῳ διατελῶν, ἐπιξενοῦται Πέλοπι, καὶ τούτου παῖδα Χρύσιππον, ἁρματοδραμεῖν διδάσκων, ἐρασθεὶς ἀναρπάζει.

6 Γαμεῖ δὲ Ζῆθος μὲν Θήβην, ἀφ' ἧς ἡ πόλις Θῆβαι· Ἀμφίων δὲ Νιόβην τὴν Ταντάλου, ἣ γεννᾷ παῖδας μὲν ἑπτὰ, Σίπυλον, Μίνυτον, Ἴσμηνον, Δαμασίχθονα, Ἀγήνορα, Φαίδιμον, Τάν-

III, 5. 5. et Amphion vlti. Thebae conditae. 6. Niobe

Τῶνταλον. θυγατέρας δὲ τὰς ἴσας, Ἐθοδαΐαν, ἢ, ὥς τινες, Νέαιραν, Κλεοδόξην, Ἀσταόχην, Φθίαν, Πελοπίαν, Ἀστυκράτειαν, Ὠγυγίαν. Ἡσίοδος δὲ δέκα μὲν υἱοὺς, δέκα δὲ θυγατέρας. Ἡρόδωρος δὲ δύο μὲν ἄῤῥενας, τρεῖς δὲ θηλείας. Ὅμηρος δὲ ἓξ μὲν υἱοὺς, ἓξ δὲ θυγατέρας φησὶ γενέσθαι. Εὔτεκνος δὲ οὖσα Νιόβη, τῆς Λητοῦς εὐτεκνωτέραν εἶπεν ὑπάρχειν. Λητὼ δὲ ἀγανακτήσασα, τήν τε Ἄρτεμιν καὶ τὸν Ἀπόλλωνα κατ' αὐτῶν παρώξυνε. καὶ τὰς μὲν θηλείας ἐπὶ τῆς οἰκίας κατετόξευσεν Ἄρτεμις· τοὺς δὲ ἄῤῥενας κοινῇ πάντας ἐν Κιθαιρῶνι Ἀπόλλων κυνηγετοῦντας ἀπέκτεινεν. ἐσώθη δὲ τῶν μὲν ἀῤῥένων Ἀμφίων· τῶν δὲ θηλειῶν Χλῶρις ἡ πρεσβυτέρα, ᾗ Νηλεὺς συνῴκησε. κατὰ δὲ Τελέσιλλαν ἐσώθησαν Ἀμύκλα καὶ Μελίβοια· ἐτοξεύθη δὲ ὑπ'

 αὐ-

III, 5, 6. amissis liberis in lapidem versa.

αὐτὰν καὶ Ζῆθος καὶ Ἀμφίων. Αὐτὴ δὲ Νιόβη Θήβας ἀπολιποῦσα πρὸς τὸν πατέρα Τάνταλον ἦκεν εἰς Σίπυλον· κἀκεῖ Διὶ εὐξαμένη, τὴν μορφὴν εἰς λίθον μετέβαλε· καὶ χεῖται δάκρυα νύκτωρ καὶ μεθ' ἡμέραν [τοῦ λίθου].

7 Μετὰ δὲ τὴν Ἀμφίονος τελευτὴν, Λάϊος τὴν βασιλείαν παρέλαβε· καὶ γήμας θυγατέρα Μενοικέως, ἣν ἔνιοι μὲν Ἰοκάστην, ἔνιοι δὲ Ἐπικάστην λέγουσι· χρήσαντος τοῦ θεοῦ μὴ γεννᾷν, τὸν γεννηθέντα γὰρ πατροκτόνον ἔσεσθαι· ὁ δὲ, οἰνωθεὶς, συνῆλθε τῇ γυναικί· καὶ τὸ γεννηθὲν ἐκθεῖναι δίδωσι νομεῖ, περόναις διατρήσας τὰ σφυρά. ἀλλ' οὗτος μὲν ἐξέθηκεν εἰς Κιθαιρῶνα. Πολύβου δὲ βουκόλοι τοῦ Κορινθίων βασιλέως τὸ βρέφος εὑρόντες, πρὸς τὴν αὐτοῦ γυναῖκα Περίβοιαν ἤνεγκαν. Ἡ δὲ ἀνελοῦσα ὑποβάλλεται· καὶ θεραπεύ-

III, 5, 7. Ex Laio et Iocasta Oedipus.

πεύσεσθαι τὰ σφῶν. Οἰδίπουν καλεῖ, τοῦτο δηλῶν τὸ ὄνομα διὰ τὸ τοὺς πόδας ἐνοιδῆσθαι. Τελευτᾷ δὲ ὁ παῖς, καὶ διαφέρων τῶν ἡλίκων ἐν ῥώμῃ, διὰ φθόνον ὑπεκλίζετο ὑπὸ βλητός. ὁ δὲ, πυνθανόμενος πυρὰ τῆς Περιβοίας, μαθεῖν οὐκ ἐδύνατο· ἀφικόμενος δὲ εἰς Δελφοὺς περὶ τῶν ἰδίων ἐπυνθάνετο γονέων. ὁ δὲ θεὸς εἶχεν αὐτῷ, εἰς τὴν πατρίδα μὴ παραγίνεσθαι· τὸν μὲν γὰρ πατέρα φονεύσειν, τῇ δὲ μητρὶ μιγήσεσθαι, τοῦτο ἀκούσας, καὶ νομίζων ἐξ ὧν ἐλέγετο γεγονέναι, Κόρινθον μὲν ἀπέλιπεν. ἐφ' ἅρματος δὲ διὰ τῆς Φωκίδος φερόμενος, συντυγχάνει κατὰ τινα στενὴν ὁδὸν ἐφ' ἅρμασιν ὀχουμένῳ Λαΐῳ καὶ Πολυφόντῃ· κήρυξ δὲ οὗτος ἦν Λαΐου· καὶ κελεύσαντος ἐκχωρεῖν, καὶ δι' ἀπειθείαν καὶ ἀναβολὴν

III, 5, 7. Is expositus, a Peribœa nutritus, patrem ignarus occidit.

κτείναντος τῶν ἵππων τὸν ἕτερον, ἀγανακτήσας Οἰδίπους καὶ Πολυφόντην καὶ Λάϊον ἀπέκτεινε, καὶ παρεγένετο
8 εἰς Θήβας. Λάϊον μὲν οὖν θάπτει βασιλεὺς Πλαταιέων Δαμασίστρατος, τὴν δὲ βασιλείαν Κρέων ὁ Μενοικέως παραλαμβάνει.

Τούτου δὲ βασιλεύοντος οὐ μικρὰ συμφορὰ κατέσχε Θήβας. ἔπεμψε γὰρ Ἥρα Σφίγγα, ἣ μητρὸς μὲν Ἐχίδνης ἦν, πατρὸς δὲ Τυφῶνος· εἶχε δὲ πρόσωπον μὲν γυναικὸς, πτῆθος δὲ καὶ βάσιν καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνιθος· μαθοῦσα δὲ αἴνιγμα [τα] παρὰ Μουσῶν, ἐπὶ τὸ Φίκειον ὄρος ἐκαθέζετο, καὶ τοῦτο προὔτεινε Θηβαίοις. ἦν δὲ τὸ αἴνιγμα· τί ἐστιν, ὃ μίαν ἔχον φωνὴν, τετράπουν καὶ δίπουν καὶ τρίπουν γίνεται; Χρησμοῦ δὲ Θηβαίοις ὑπάρ-

III. 5. 8. Creontis praeconio audito Sphingis aenigma soluit:

ὑπάρχοντος, τηνικαῦτα ἀπαλλαγήσεσθαι τῆς Σφιγγὸς, ἡνίκα ἂν τὸ αἴνιγμα λύσωσι, καὶ συνιόντες εἰς αὐτὸ πολλάκις, ἐζήτει τί τὸ λεγόμενόν ἐστιν, ἐπ' ἂν δὲ μὴ εὕρισκον, ἁρπάσασα ἕνα, κατεβίβρωσκε. πολλῶν δὲ ἀπολλυμένων, καὶ τὸ τελευταῖον Αἵμονος τοῦ Κρέοντος, κηρύσσει Κρέων τῷ τὸ αἴνιγμα λύσοντι καὶ τὴν βασιλείαν καὶ τὴν Λαΐου δώσειν γυναῖκα. Οἰδίπους δὲ ἀκούσας ἔλυσεν, εἰπὼν τὸ αἴνιγμα, τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον, ἄνθρωπον εἶναι. γεννᾶσθαι γὰρ τετράπουν βρέφος τοῖς τέτταρσιν ὀχούμενον κώλοις· τελειούμενον δὲ τὸν ἄνθρωπον δίπουν· γηρῶντα δὲ τρίτην προσλαμβάνειν βάσιν τὸ βάκτρον. Ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυτὴν ἔῤῥιψεν· Οἰδίπους δὲ καὶ τὴν βασιλείαν παρέλαβε

III, 5. 8. Iocastam matrem ducit: ex ea liberos suscipit.

καὶ τὴν μητέρα ἔγημεν ἀγνοῶν· καὶ παῖδας ἐτέκνωσεν ἐξ αὐτῆς Πολυνείκη καὶ Ἐτεοκλέα, θυγατέρας δὲ Ἰσμήνην καὶ Ἀντιγόνην. εἰσὶ δὲ, οἱ γεννηθῆναι τὰ τέκνα φασὶν ἐξ Εὐρυγανείας τῆς 9 Ὑπερφάντας. Φανέντων δὲ ὕστερον τῶν λελυθησόντων, Ἰοκάστη μὲν ἐξ ἀγχόνης ἑαυτὴν ἀνήρτησεν· Οἰδίπους δὲ τὰς ὄψεις τυφλώσας ἐκ Θηβῶν ἠλαύνετο, ἀρὰς τοῖς παισὶ θέμενος, οἱ, τῆς πόλεως αὐτὸν ἐκβαλλόμενον θεωροῦντες, οὐκ ἐκώλυναν. Παραγενόμενος δὲ σὺν Ἀντιγόνῃ τῆς Ἀττικῆς εἰς Κολωνὸν, ἔνθα τὸ τῶν Εὐμενίδων ἐστὶ τέμενος, καθίζει ἱκέτης, προσθεχθεὶς ὑπὸ Θησέως· καὶ μετ' οὐ πολὺν χρόνον ἐτελεύτησεν.

Ἐτεο-

III, 5, 9. Comperta re locasta suspendio se necat: Oedipus se excaecat, et exulat. Ad Colonum Atticae supplex Theseo factus recipitur.

Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης Cap. VI,
περὶ τῆς βασιλείας συντίθενται πρὸς 1
ἀλλήλους, καὶ αὐτοῖς δοκεῖ τὸν ἕτερον
παρ' ἐνιαυτὸν ἄρχειν. τινὲς μὲν οὖν
λέγουσι, πρῶτον ἄρξαντος Πολυνείκους,
παραδοῦναι μετ' ἐνιαυτὸν τὴν βασι-
λείαν Ἐτεοκλεῖ· τινὲς δὲ, πρῶτον
Ἐτεοκλέους ἄρξαντος, μὴ βούλεσθαι
παραδοῦναι τὴν βασιλείαν. Φυγαδευ-
θεὶς οὖν Πολυνείκης ἐκ Θηβῶν ἧκεν 2
εἰς Ἄργος, τόντε ὅρμον καὶ τὸν πέπλον
ἔχων. ἐβασίλευε δὲ Ἄργους Ἄδραστος
ὁ Ταλαοῦ· καὶ τοῖς τούτου βασιλείας
νύκτωρ προστελάζει, καὶ συνάπτει μά-
χην Τυδεῖ τῷ Οἰνέως φεύγοντι Καλυ-
δῶνα. γενομένης δὲ ἐξαίφνης βοῆς,
ἐπιφανεὶς Ἄδραστος διέλυσεν αὐτούς·
καὶ μάντεως τινὸς ὑπομνησθεὶς λέγον-
τος αὐτῷ, κάπρῳ καὶ λέοντι συζεῦξαι

τὰς

III, 6. 1. Eteocles et Polynices de regno di-
gladiantur.

τὰς θυγατέρας, ἀμφοτέρους εἵλετο
1 νυμφίους· εἶχεν γὰρ ἐπὶ τῶν ἀσπίδων
ὁ μὲν κάπρου προτομήν, ὁ δὲ λέοντος.
γαμεῖ δὲ Δηϊπύλην μὲν Τυδεὺς, Ἀρ-
γείην δὲ Πολυνείκης· καὶ αὐτοὺς Ἄδρα-
στος ἀμφοτέρους εἰς τὰς πατρίδας ὑπέ-
σχετο κατάξειν. καὶ πρῶτον ἐπὶ Θή-
βας ἔσπευδε στρατεύεσθαι, καὶ τοὺς
ἀριστέας συνήθροιζεν.

2 Ἀμφιάραος δὲ ὁ Οἰκλέους, μάντις
ὢν, καὶ προειδὼς, ὅτι δεῖ πάντας τοὺς
στρατευσαμένους χωρὶς Ἀδράστου τε-
λευτῆσαι, αὐτός τε ὤκνει στρατεύεσθαι,
καὶ τοὺς λοιποὺς ἀπέτρετε. Πολυνεί-
κης δὲ ἀφικόμενος πρὸς Ἴφιν τὸν Ἀλέ-
κτορος, ἠξίου μαθεῖν, πῶς ἂν Ἀμ-
φιάραος ἀναγκασθείη στρατεύεσθαι· ὁ
δὲ εἶπεν· εἰ λάβοι τὸν ὅρμον Ἐριφύλη.

Ἀμ-

III, 6, 4. Polynices ad Adrastum venit: a quo reducitur Eriphyle per monile corrupta, vt maritum

Ἀμφιάραος μὲν οὖν ἀπεῖπεν Ἐριφύλῃ παρὰ Πολυνείκους δῶρα λαμβάνειν. Πολυνείκης δὲ δοὺς αὐτῇ τὸν ὅρμον, ἠξίου τὸν Ἀμφιάραον πεῖσαι στρατεύειν· ἦν γὰρ ἐπὶ ταύτης. γενομένης γὰρ [αὐτῆς] πρὸς Ἄδραστον, διαλυσάμενος, ὤμοσε, περὶ ὧν Ἄδραστος διαφέρηται, διακρίνειν Ἐριφύλην συγχωρῆσαι. ὅτε οὖν ἐπὶ Θήβας ἔδει στρατεύειν, Ἀδράστου μὲν παρακαλοῦντος, Ἀμφιαράου δὲ ἀποτρέποντος, Ἐριφύλη τὸν ὅρμον λαβοῦσα, ἔπεισε [τὸν Ἄδραστον] στρατεύειν. Ἀμφιάραος δὲ ἀνάγκην ἔχων στρατεύεσθαι, τοῖς παισὶν ἐντολὰς ἔδωκε τελειωθεῖσι τήν τε μητέρα κτείνειν, καὶ ἐπὶ Θήβας στρατεύειν.

Ἄδραστος δὲ συναθροίσας, σὺν ἡγεμόσιν ἑπτὰ πολεμεῖν ἔσπευδε Θήβας. 3
Οἱ δὲ ἡγεμόνες ἦσαν οἵδε· Ἄδραστος

Τα-

III, 6, 2. Amphiaraum proderet. 3. Septem duces ad.

Ταλαοῦ, Ἀμφιάραος Οἰκλέους, Καπανεὺς Ἱππονόου, Ἱππομέδων Ἀριστομάχου· οἱ δὲ λέγουσι, Ταλαοῦ. οὗτοι μὲν ἐξ Ἄργους. Πολυνείκης Οἰδίποδος ἐκ Θηβῶν· Τυδεὺς Οἰνέως, Αἰτωλός· Παρθενοπαῖος Μειλανίωνος, Αρκάς. τινὲς δὲ Τυδέα μὲν καὶ Πολυνείκην οὐ καταριθμοῦσι· συγκαταλέγουσι δὲ τοῖς ἑπτὰ Ἐτέοκλον Ἴφιος, καὶ Μηκιστέα.

4 Παραγενόμενοι δὲ εἰς Νεμέαν, ἧς ἐβασίλευε Λυκοῦργος, ἐζήτουν ὕδωρ. καὶ αὐτοῖς ἡγήσατο τῆς ἐπὶ κρήνην ὁδοῦ Ὑψιπύλη, [ἥτις] νήπιον παῖδα ὄντα Ὀφέλτην ἀπολιποῦσα, ὃν ἔτρεφεν, Εὐρυδίκης ὄντα καὶ Λυκούργου· αἰσθόμεναι γὰρ αἱ Λήμνιαι ὕστερον Θόαντα σεσωσμένον, ἐκεῖνον μὲν ἔκτειναν, τὴν δὲ Ὑψιπύλην ἀπεμπώλησαν· διὸ πραθεῖσα ἐλάτρευε παρὰ Λυκούργῳ. δεικνυού-

III, 6, 3. Thebas profecti. 4. Ludi Nemei

κυνοσόης δὲ τὴν κρήνην, ὁ παῖς ἀπολαμβάνεται ὑπὸ δράκοντος διαφθαίρεται. τὸν μὲν οὖν δράκοντα ἐπιφανέντες οἱ μετὰ Ἀδράστου κτείνουσι, τὸν δὲ παῖδα θάπτουσιν. Ἀμφιάραος δὲ εἶπεν, ἐκείνοις τὸ σημεῖον τὰ μέλλοντα προμαντεύεσθαι. τὸν δὲ παῖδα, Ἀρχέμορον ἐκάλεσαν. οἱ δὲ ἔθεσαν ἐπ' αὐτῷ τὸν τῶν Νεμέων ἀγῶνα. καὶ ἵππῳ μὲν ἐνίκησεν Ἄδραστος· σταδίῳ δὲ Ἐτεοκλος. πυγμῇ Τυδεύς· ἅρματι καὶ δίσκῳ Ἀμφιάραος· ἀκοντίῳ Λαόδοκος· πάλῃ Πολυνείκης· τοξῳ Παρθενοπαῖος.

Ὡς δὲ ἦλθον εἰς τὸν Κιθαιρῶνα, πέμπουσι Τυδέα προερροῦντα Ἐτεοκλεῖ, τὴν βασιλείαν παραχωρεῖν Πολυνείκει, καθὰ συνέθεντο. μὴ προσέχοντος δὲ Ἐτεοκλέους, διάπειραν τῶν Θηβαίων Τυδεὺς ποιούμενος, καθ' ἕνα προκαλού-

με-

III. 6. 4. Archemoro instituti. 5. Tydeus ad res repetendas Thebas missus.

μενος, πάντων περιεγένετο, εἰ δὲ, πεντήκοντα ἄνδρας ἀπολίσαντες, ἀπιόντα ἀνήρευσαν αὐτόν. πάντας δὲ αὐτοὺς χωρὶς Μαίονος ἀπέκτειναν. κἄπειτα ἐπὶ τὸ στρατόπεδον ἦλθεν.

6 Ἀργεῖοι δὲ καθοπλισθέντες προσῆεσαν τοῖς τείχεσι. καὶ, πυλῶν ἑπτὰ οὐσῶν, Ἄδραστος μὲν παρὰ τὰς Ὁμολωΐδας πύλας ἔστη· Καπανεὺς δὲ παρὰ τὰς Ὠγυγίας· Ἀμφιάραος δὲ παρὰ τὰς Προιτίδας· Ἱππομέδων δὲ παρὰ τὰς Ὀγκαίδας· Πολυνείκης δὲ παρὰ τὰς Ὑψίστας· Παρθενοπαῖος δὲ παρὰ τὰς 7 Ἠλέκτρας· Τυδεὺς δὲ παρὰ τὰς Κρηνίδας. Καθώπλισε δὲ καὶ Ἐτεοκλῆς Θηβαίους, καὶ καταστήσας ἡγεμόνας ἴσους ἴσοις ἔταξε, καὶ, πῶς ἂν περιγένοιντο τῶν πολεμίων, ἐμαντεύετο.

Ἦν

M. 6. 6. Duces Argivorum ad VII. portas Thebarum distributi.

Ἦν δὲ παρὰ Θηβαίοις μάντις Τειρεσίας 7
Εὐήρους καὶ Χαριτλοῦς νύμφης, ἀπὸ
γένους Οὐδαίου τοῦ Σπαρτοῦ, γενόμενος
τυφλὸς τὰς ὁράσεις. οὗ περὶ τῆς πη-
ρώσεως καὶ μαντικῆς λέγονται λόγοι διά-
φοροι. ἄλλοι μὲν γὰρ αὐτὸν ὑπὸ θεῶν
φασὶ τυφλωθῆναι, ὅτι τοῖς ἀνθρώποις
ἃ κρύπτειν ἤθελον, ἐμήνυε· Φερεκύ-
δης δὲ, ὑπὸ Ἀθηνᾶς αὐτὸν τυφλω-
θῆναι. οὖσαν γὰρ Χαριτλὼ προσφιλῆ
τῇ Ἀθηνᾷ . . . . . γυμνὴν
ἐπὶ πάντα ἰδεῖν· τὴν δὲ, ταῖς χερσὶ
[τοὺς ὀφθαλμοὺς] αὐτοῦ καταλαβομέ-
νην, πηρὸν ποιῆσαι· Χαριτλοῦς δὲ δεη-
μένης ἀποκαταστῆσαι πάλιν τὰς ὁράσεις,
μὴ δυναμένην τοῦτο ποιῆσαι, τὰς ἀκοὰς
διακαθάρασαν πᾶσαν ὀρνίθων φωνὴν ποι-
ῆσαι συνιέναι, καὶ σκῆπτρον αὐτῷ δωρή-
σασθαι κυάνεον, ὃ φέρων, ὁμοίως τοῖς

βλέ-

III, 6, 7. De Tireſia.

βλέπουσιν ἐβάδιζεν. Ἡσίοδος δέ φησιν, ὅτι θεασάμενος περὶ Κυλλήνην ὄφεις συνουσιάζοντας, καὶ τούτους τρώσας, ἐγένετο ἐξ ἀνδρὸς γυνή· πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις παρατηρήσας συνουσιάζοντας, ἐγένετο ἀνήρ. διόπερ Ἥρα καὶ Ζεὺς ἀμφισβητοῦντες, πότερον τὰς γυναῖκας ἢ τοὺς ἄνδρας ἥδεσθαι μᾶλλον ἐν ταῖς συνουσίαις συμβαίνοι, τοῦτον ἀνέκρινον. ὁ δὲ ἔφη, δεκαεννέα μοιρῶν περὶ τὰς συνουσίας οὐσῶν, τὰς μὲν ἐννέα, ἄνδρας ἥδεσθαι, τὰς δὲ δέκα, γυναῖκας. ὅθεν Ἥρα μὲν αὐτὸν ἐτύφλωσε, Ζεὺς δὲ μαντικὴν αὐτῷ ἔδωκε. [Τὸ ὑπὸ Τειρεσίου λεχθὲν πρὸς Δία καὶ Ἥραν·

Οἴην μὲν μοίρην δέκα μοιρῶν τέρπεται ἀνήρ·
Τὰς δὲ δέκ' ἐμπίμπλησι γυνὴ τέρπουσα νόημα.]

Ἐγένετο δὲ καὶ πολυχρόνιος.

Οὗτος

III, 6, 7. Ejus responſo

Οὗτος οὖν Θηβαίοις μαντευόμενος εἶπε νικήσειν, ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὐτὸν ἐπιδιδῷ. τοῦτο ἀκούσας Μενοικεὺς ὁ Κρέοντος, ἀσκὸν πρὸ τῶν πυλῶν ἔσφαξε. Μάχης δὲ γενομένης, οἱ Καδμεῖοι μέχρι τῶν τειχῶν συνεδιώχθησαν. καὶ Καπανεὺς ἁρπάσας κλίμακα, ἐπὶ τὰ τείχη δι' αὐτῆς ἀνῆει· καὶ Ζεὺς αὐτὸν κεραυνοῖ· τούτου δὲ γενομένου, τρόπαιον τῶν Ἀργείων γίνεται. ὡς δὲ ἀπώλλυντο πολλοί, δόξαν ἑκατέροις τοῖς στρατεύμασιν, Ἐτεοκλῆς καὶ Πολυνείκης περὶ τῆς βασιλείας μονομαχοῦσι, καὶ κτείνουσιν ἀλλήλους. Καρτερᾶς δὲ πάλιν γενομένης μάχης, οἱ Ἀστακοῦ παῖδες ἡρίστευσαν. Ἴσμαρος μὲν γὰρ Ἱππομέδοντα ἀπέ- 8

III, 6, 7. Menoeceus se pro Thebis immolat. 8. Eteocles et Polynices soli pugnant et se mutuo interimunt. Hinc pugna iterum fit, fugantur Argiui.

ἀπέκτεινε· Λεώδης δὲ, Ἐτεοκλῆν· Ἀμφίδικος δὲ Παρθενοπαῖον. ὡς δὲ Εὐριπίδης φησὶ, Παρθενοπαῖον ὁ Ποσειδῶνος παῖς Περικλύμενος ἀπέκτεινε. Μελάνιππος δὲ ὁ λοιπὸς τῶν παίδων Τυδέα τιτρώσκει, ἡμιθνῆτος δὲ αὐτοῦ κειμένου, παρὰ Διὸς αἰτησαμένη Ἀθηνᾶ Φάρμακον ἤνεγκε, δι' οὗ ποιεῖν ἔμελλεν ἀθάνατον αὐτόν. Ἀμφιάραος δὲ αἰσθόμενος τοῦτο, μισῶν Τυδέα, ὅτι παρὰ τὴν ἐκείνου γνώμην εἰς Θήβας ἔπεισε τοὺς Ἀργείους στρατεύσασθαι, τὴν Μελανίππου κεφαλὴν ἀποτεμὼν ἔδωκεν αὐτῷ· [τιτρωσκόμενος δὲ Τυδεὺς ἔκτεινεν αὐτὸν.] ὁ δὲ δαλὼν, τὸν ἐγκέφαλον ἐξερόφησεν αὐτόν. ὡς δὲ εἶδεν Ἀθηνᾶ, μυσαχθεῖσα, τὴν εὐεργεσίαν ἀπέσχετο καὶ ἐφθόνησεν. Ἀμφιαράῳ δὲ φεύγοντι παρὰ ποταμὸν Ἰσμηνὸν, πρὶν

III. 6. 8. Tydei inhumanitas a Pallade punita. Amphiaraus terrae hiatu interceptus.

πρὶν ὑπὸ Περικλυμένου τὰ νῶτα τρωθῇ, Ζεὺς κεραυνὸν βαλὼν τὴν γῆν διέστησεν. ὁ δὲ σὺν τῷ ἅρματι καὶ τῷ ἡνιόχῳ Βάτωνι, ὡς δὲ ἔνιοι, Ἐλαττωνῷ, ἐκρύφθη, καὶ Ζεὺς ἀθάνατον αὐτὸν ἐποίησεν. Ἄδραστον δὲ μόνον ἵππος διέσωσεν Ἀρίων. τοῦτον ἐκ Ποσειδῶνος ἐγέννησε Δημήτηρ εἰκασθεῖσα Ἐριννύϊ κατὰ τὴν συνουσίαν.

Κρέων δὲ, τὴν Θηβαίων Cap. VII, βασιλείαν παραλαβὼν, τοὺς τῶν Ἀργείων νεκροὺς ἔῤῥιψεν ἀτάφους, καὶ κηρύξας μηδένα θάπτειν, φύλακας κατέστησεν. Ἀντιγόνῃ δὲ, μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους σῶμα κλέψασα ἔθαψε· καὶ φωραθεῖσα ὑπὸ Κρέοντος, αὐτὴν τῷ τάφῳ

O 8 ζῶ-

III, 6, 8. Adrastus fugit ab Arione abreptus.

7. 1. Creon corpora caesorum humare vetat. Antigones pietas. Thesens inhumanitatem Creontis vlciscitur.

ζῶσαν ἐνεκρύψατο. Ἄδραστος δὲ εἰς Ἀθήνας ἀφικόμενος, ἐπὶ τὸν Ἐλέου βωμὸν κατέφυγε, καὶ ἱκετηρίαν θεὶς, ἠξίου θάπτειν τοὺς νεκρούς. Οἱ δὲ Ἀθηναῖοι μετὰ Θησέως στρατεύσαντες, αἱροῦσι Θήβας· καὶ τοὺς νεκροὺς τοῖς οἰκείοις διδόασι θάψαι. Τῆς δὲ Καπανέως καιομένης πυρᾶς, Εὐάδνη ἡ Καπανέως μὲν γυνὴ, θυγάτηρ δὲ Ἴφιος, ἑαυτὴν βαλοῦσα συγκατεκαίετο.

4 Μετὰ δὲ ἔτη δέκα, οἱ τῶν ἀπολομένων παῖδες, κληθέντες Ἐπίγονοι, στρατεύειν ἐπὶ Θήβας προηροῦντο, τὸν τῶν πατέρων θάνατον τιμωρήσασθαι βουλόμενοι. καὶ μαντευομένοις αὐτοῖς ὁ θεὸς ἔδωκε νίκην Ἀλκμαίωνος ἡγουμένου. ὁ μὲν οὖν Ἀλκμαίων ἡγεῖσθαι τῆς στρατείας οὐ βουλόμενος, πρὶν τίσασθαι τὴν μητέρα, ὅμως στρατεύεται. λαβοῦσα

III, 7, 1. Eundne se in regum immittit. 2. Epigonorum expeditio

βοῦσα γὰρ Ἐριφύλη παρὰ Θερσάνδρου τοῦ Πολυνείκους τὸν πέπλον, συνέπεισε καὶ τοὺς παῖδας στρατεύεσθαι. οἱ δὲ ἡγεμόνα Ἀλκμαίωνα ἑλόμενοι, Θήβας ἐπολέμουν. Ἦσαν δὲ οἱ στρατευόμενοι οἵδε· Ἀλκμαίων καὶ Ἀμφίλοχος Ἀμφιάρεω, Αἰγιαλεὺς Ἀδράστου· Διομήδης Τυδέως· Πρόμαχος Παρθεναπαίου· Σθένελος Καπανέως· Θέρσανδρος Πολυνείκους· Εὐρύπυλος Μηκιστέως. Οὗτοι πρῶτον μὲν παρῄεσαν τὰς πέριξ κώμας, ἔπειτα, τῶν Θηβαίων ἐπελθόντων Λαοδάμαντος τοῦ Ἐτεοκλέους ἡγουμένου, γενναίως μάχονται. καὶ Λαοδάμας μὲν Αἰγιαλέα κτείνει· Λαοδάμαντα δὲ Ἀλκμαίων. καὶ μετὰ τὸν τούτου θάνατον, Θηβαῖοι συμφεύγουσιν εἰς τὰ τείχη. Τειρεσίου δὲ εἰπόντος αὐτοῖς πρὸς μὲν Ἀργείους κήρυκα περὶ διαλύσεως πέμπειν, καὶ τὰ νεκρὰ ἀναιρεῖσθαι· νικήσειν γὰρ τοὺς Θηβαίους· ἐπὶ τούτοις γενομένης τῆς ἀναιρέσεως, καὶ τὰ νεκρὰ θαπτόντων, ἐπὶ τὴν Θήβην ἐστράτευσαν. Ἀδράστου δὲ τοῦ Ταλαϊονέως υἱὸς Αἰγιαλεὺς ἦν, καὶ Ἐριφύλης Ἀλκμαίων καὶ Ἀμφίλοχος, Ἀμφιάρεω καὶ Ἀλκμάνης τῆς Ἠλέκτρας τῆς Περσέως καὶ Ἀνδρομέδης τῆς Κηφέως. Διομήδης δὲ Τυδέως καὶ Δηιπύλης τῆς Ὀινέως θυγατρός. Πρόμαχος δὲ Παρθεναπαίου καὶ Εὐαδνῆς τῆς Ἰφιάνασσης τῆς Προίτου. Σθένελος δὲ Καπανέως καὶ Εὐάδνης τῆς Ἱππονόου τοῦ Ταλαϊονέως. Θέρσανδρος δὲ Πολυνείκους καὶ Ἀργείας τῆς Ἀδράστου. Εὐρύπυλος δὲ Μηκιστέως καὶ Περιμήλης τῆς Ἱππομέδοντος τοῦ Ταλαϊονέως. Ἐπὶ τούτοις Ἀδράστου μὲν ἐπὶ τὴν Θήβην στρατευσάντων, Ἀμφιάρεως ἐμαντεύσατο μὴ συμπολεμεῖν· ἐπεὶ καὶ αὐτὸς ἐν τῇ πρὸς Θηβαίους μάχῃ τελευτήσειν. Ἀδράστου δὲ τοῦτο ἀκούσαντος, καὶ τὴν ἀσπίδα καὶ τὸ δόρυ τοῦ Ἀμφιάρεω ἀναλαβόντος, ἔφευγεν. Ἀμφιάρεως δὲ καταδιώκων, ἕως μὲν ἐγγὺς ἦν τοῦ Ἱππίου ποταμοῦ, ἐφοβεῖτο μὴ καταληφθείη· ἐπεὶ δὲ διέβη τὸν ποταμόν, ἀπέστη τῆς διώξεως. Ἀδράστου δὲ ἐπὶ τὸν ἵππον ἀναβάντος, καὶ τὸν Ἀμφιάρεω ἵππον Ἀρείονα καλούμενον ἐπαγομένου, ἐπ

διαλύσεως ἀποστέλλειν, αὐτοὺς δὲ φεύγειν, πρὸς μὲν τοὺς πολεμίους κήρυκα πέμπουσιν, αὐτοὶ δὲ, ἀναβιβάσαντες ἐπὶ τὰς ἁπήνας τέκνα καὶ γυναῖκας, ἐκ τῆς πόλεως ἔφευγον. νύκτωρ δὲ ἐπὶ τὴν λεγομένην Τιλφοῦσσαν κρήνην παραγενομένων αὐτῶν, Τειρεσίας, ἀπὸ ταύτης πιὼν, αὐτοῦ τὸν βίον κατέστρεψε. Θηβαῖοι δὲ ἐπὶ πολὺ διελθόντες, πόλιν Ἐστιαίαν κτίσαντες κατῴκησαν. 4 Ἀργεῖοι δὲ ὕστερον τὸν ὁρασμὸν τῶν Θηβαίων μαθόντες, εἰδίασιν εἰς τὴν πόλιν, καὶ συναιρεῖ ζουσι τὴν λείαν, καὶ καθαιροῦσι τὰ τείχη. τῆς δὲ λείας μέρος εἰς Δελφοὺς πέμπουσιν Ἀπόλλωνι καὶ τὴν Τειρεσίου θυγατέρα Μαντώ. ἡδέαντο γὰρ αὐτῷ, Θήβας ἑλόντες τῶν καλλίστων τῶν λαφύρων ἀναθήσειν.

Ma-

III, 7, 3. Tiresias moritur. 4. Epigoni ab Argivis Thebae. Manto Delphos missa.

Μετὰ δὲ τὴν Θηβαίων ἅλωσιν αἰσθόμενος Ἀλκμαίων καὶ ἐπ' αὐτὸν θῶρα εἰληφυῖαν Ἐριφύλην τὴν μητέρα, μᾶλλον ἠγανάκτησε· καὶ, χρήσαντος Ἀπόλλωνος αὐτῷ, τὴν μητέρα ἀπέκτεινεν. ἔνιοι μὲν μᾶλλον λέγουσι σὺν Ἀμφιλόχῳ τῷ ἀδελφῷ κτεῖναι τὴν Ἐριφύλην, ἔνιοι δὲ ὅτι μόνος. Ἀλκμαίωνα δὲ μετῆλθεν Ἐρινὺς τοῦ μητρῴου φόνου. καὶ μεμηνὼς, πρῶτον μὲν εἰς Ἀρκαδίαν πρὸς Ὀγκλέα παραγίνεται, ἐκεῖθεν δὲ εἰς Ψωφίδα πρὸς Φηγέα. καὶ θαρθεὶς ὑπ' αὐτοῦ, Ἀρσινόην γαμεῖ τὴν τούτου θυγατέρα· καὶ τόντε ὅρμον καὶ τὸν πέπλον ἔδωκε ταύτῃ. Γενομένης δὲ ὕστερον τῆς γῆς δι' αὐτὸν ἀφόρου, χρήσαντος αὐτῷ τοῦ θεοῦ πρὸς Ἀχελῶον ἀπιέναι, καὶ παρ' ἐκείνου πόλιν διαλαμβάνειν, τὸ μὲν πρῶτον πρὸς Οἰνέα παραγίνεται εἰς Καλυδῶνα

καὶ

III. 7. 5. Alcmaeon matre Eriphyle interemta insanit.

καὶ ξενίζεται παρ' αὐτοῦ. ἔπειτα ἀφικόμενος εἰς Θεσπρωτοὺς, τῆς χώρας ἀπελαύνεται. τελευταῖον δὲ ἐπὶ τὰς Ἀχελώου πηγὰς παραγενόμενος, καθαίρεταί τε ὑπ' αὐτοῦ, καὶ τὴν ἐκείνου θυγατέρα Καλλιρρόην λαμβάνει, καὶ ὃν Ἀχελῶος προσέχωσε τόπον κτίσας κατῴκησε.

Καλλιρρόης δὲ ὕστερον τόν τε ὅρμον καὶ τὸν πέπλον ἐπιθυμούσης λαβεῖν, καὶ λεγούσης οὐ συνοικήσειν αὐτῷ, εἰ μὴ λάβοι ταῦτα· [διὸ] παραγενόμενος εἰς Ψωφίδα Ἀλκμαίων, φησὶ λέγει τεθεσπίσθαι τῆς μανίας ἀπαλλαγὴν ἑαυτῷ, ὅταν τὸν ὅρμον εἰς Δελφοὺς κομίσας ἀναθῇ καὶ τὸν πέπλον. ὁ δὲ, πιστεύσας, δίδωσι. μηνύσαντος δὲ Θεράποντος, ὅτι Καλλιρρόῃ ταῦτα λα-

III, 7, 5. Post multos errores ad Acheloum confidet; tandem ex insidiis interfic.

λαβὼν ἐκόμιζεν, ἐνεδρευθεὶς ὑπὸ τῶν Φηγέως παίδων, ἐπιτάξαντος τοῦ Φηγέως, ἀνῃρεῖται. Ἀρσινόην δὲ μεμφομένην οἱ τοῦ Φηγέως παῖδες ἐμβιβάσαντες εἰς λάρνακα κομίζουσιν εἰς Τεγέαν, καὶ δεδόασιν Ἀγαπήνορι, καταψευσάμενοι τὸν Ἀλκμαίωνος αὐτῆς φόνον. Καλλιρρόη δὲ τὴν Ἀλκμαίωνος 6
ἀπώλειαν μαθοῦσα, πλησιάζοντος αὐτῇ τοῦ Διὸς, αἰτεῖται τοὺς γεγενημένους παῖδας ἐξ Ἀλκμαίωνος αὐτῇ γενέσθαι τελείους, ἵνα τὸν τοῦ πατρὸς τίσωνται φόνον. γενόμενοι δὲ ἐξαίφνης οἱ παῖδες τέλειοι, ἐπὶ τὴν ἐπιθυμίαν τοῦ πατρὸς ἐξήεσαν. Κατὰ τὸν αὐτὸν δὲ καιρὸν, οἵτε Φηγέως παῖδες Πρόνοος καὶ Ἀγήνωρ εἰς Δελφοὺς κομίζοντες ἐναθεῖναι τὸν ὅρμον καὶ τὸν πέπλον, καταλύουσι πρὸς Ἀγαπήνορα, καὶ οἱ τοῦ

III. 7. 6. Caedis auctores persequuntur filii ex Callirrhoe, Amphoterus et Acarnan,

τοῦ Ἀλκμαίωνος παῖδες, Ἀμφότερός τε καὶ Ἀκαρνάν· καὶ ἀνελόντες τοὺς τοῦ πατρὸς φονέας, παραγενόμενοί τε εἰς Ψωφίδα καὶ παραλθόντες εἰς τὰ βασίλεια, τὸν τε Φηγέα καὶ τὴν γυναῖκα αὐτοῦ κτείνουσι. διωχθέντες δὲ ἄχρι Τεγέας, ἐπιβοηθησάντων Τεγεατῶν καὶ τινων Ἀργείων, ἐσώθησαν, εἰς
7 φυγὴν τῶν Ψωφιδίων τραπέντων. Δηλώσαντες δὲ τῇ μητρὶ ταῦτα, τόν τε ἅρμον καὶ τὸν πέπλον ἐλθόντες εἰς Δελφοὺς ἀνέθεντο κατὰ πρόσταξιν Ἀχελώου. πορευθέντες δὲ εἰς τὴν Ἤπειρον, συναθροίζουσιν οἰκήτορας, καὶ κτίζουσιν Ἀκαρνανίαν.

Εὐριπίδης δέ φησιν, Ἀλκμαίωνα κατὰ τὸν τῆς μανίας χρόνον, ἐκ Μαντοῦς Τειρεσίου παῖδας δύο γεννῆσαι, Ἀμφίλοχον καὶ θυγατέρα Τισιφόνην· κο-

---

III, 7, 6. et Acarnaniam incolunt. 7. Amphilochi et Tisiphonen

κομίσαντα δὲ εἰς Κόρινθον τὰ βρέφη δοῦναι τρέφειν Κορινθίων βασιλεῖ Κρέοντι. καὶ τὴν μὲν Τισιφόνην, διενεγκοῦσαν εὐμορφίᾳ, ὑπὸ τῆς Κρέοντος γυναικὸς ἀπεμπωληθῆναι, δεδοικυίας, μὴ Κρέων αὐτὴν γαμετὴν ποιήσηται· τὸν δὲ Ἀλκμαίωνα ἀγοράσαντα ταύτην ἔχειν, οὐκ εἰδότα τὴν ἑαυτοῦ θυγατέρα, θεράπαιναν· παραγενόμενον δὲ εἰς Κόρινθον ἐπὶ τὴν τῶν τέκνων ἀπαίτησιν, καὶ τὸν υἱὸν κομίσασθαι. καὶ Ἀμφίλοχος, κατὰ χρησμοὺς Ἀπόλλωνος, Ἀμφιλοχικὸν Ἄργος ᾤκησεν.

Ἐπανάγωμεν δὲ νῦν πάλιν Cap. VIII, ἐπὶ τὸν Πελασγόν· ὃν Ἀκουσίλαος μὲν 1
Διὸς λέγει καὶ Νιόβης, καθάπερ ὑπέθεμεν, Ησίοδος δὲ αὐτόχθονα. Τούτου καὶ τῆς Ὠκεανοῦ θυγατρὸς Μελιβοίας,

ἢ,

III, 7, 7. liberorum fata. 8, 1. Sequuntur fabulae Arcadicae. Pelasgi stirps. Lycaon.

ἢ, καθάπερ ἄλλοι λέγουσι, νύμφης Κυλλήνης, παῖς Λυκάονι ἐγένετο· ὃς βασιλεύων Ἀρκάδων, ἐκ πολλῶν γυναικῶν πεντήκοντα παῖδας ἐγέννησε· Μαίναλον, Θεσπρωτὸν, Ἔλικα, Νύκτιμον, Πευκέτιον, Καύκωνα, Μηκιστέα, Ὀτλέα, Μακαρέα, Μάκεδνον, Ὄρον, Πόλιχον, Ἀκόντην, Εὐαίμονα, Ἀγκύρην, Ἀρχεβάτην, Καρτέρωνα, Αἰγαίωνα, Πάλλαντα, Ἔμμενα, Κάνηθον, Πρόθοον, Λίνον, Κορέθοντα, [Μαίναλον,] Τηλεβόαν, Φύσιον, Φάσσον, Φθίον, Λύκιον, Ἀλίφηρον, Γενέτορα, Βουπολίωνα, Σωκλέα, Φινέα, Εὐμήτην, Ἀρκάλεα, Πορθέα, Πλάτωνα, Αἵμονα, Κύναιθον, Λέοντα, Ἀρκάλικον, Ἡραιέα, Τιτάνην, Μαντίνεων, Κλείτορα, Στύμφαλον, Ὀρχόμενον. Οὗτοι πάντας ἀνθρώπους ὑπερέβαλον ὑπερηφανείᾳ

III, 8, 1. Eius progenies propter inspissatum a lore delete.

νεία καὶ ἀσεβείᾳ. Ζεὺς δὲ αὐτῶν βουλόμενος τὴν ἀσέβειαν πειρᾶσαι, εἰκασθεὶς ἀνδρὶ χερνήτῃ παραγίνεται. οἱ δὲ αὐτὸν ἐπὶ ξενίᾳ καλέσαντες, σφάξαντες ἕνα τῶν ἐπιχωρίων παῖδα, τοῖς ἱεροῖς τὰ ταύτου σπλάγχνα συναναμίξαντες, παρέθεσαν, συμβουλεύσαντος τοῦ πρεσβυτάρου ἀδελφοῦ Μαινάλου. Ζεὺς δὲ τὴν μὲν τράπεζαν ἀνέτρεψεν, ἔνθα νῦν Τραπεζοῦς καλεῖται ὁ τόπος· Λυκάονα δὲ καὶ τούτου παῖδας ἐκεραύνωσε, χωρὶς τοῦ νεωτάτου Νυκτίμου· ἀνασχοῦσα γὰρ ἡ Γῆ τὰς χεῖρας, καὶ τῆς δεξιᾶς τοῦ Διὸς ἐφαψαμένη, τὴν ὀργὴν κατέπαυσε.

Νυκτίμου δὲ τὴν βασιλείαν παραλαβόντος, ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς ἐγένετο. τοῦτον ἔνιοί φασι διὰ τὴν τῶν Λυκάονος παίδων ἀνοσιότητα γε-

III, 8, 2. Nyctimo regnante diluvium Deucalioneum.

γεγενῆσθαι. Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ Θυγατέρα Καλλιστὼ γενέσθαι. Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν εἶναι τῶν Νυμφῶν λέγει· Ἄσιος δὲ Νυκτέως, Φερεκύδης δὲ Κητέως. αὕτη σύνθηρος Ἀρτέμιδος οὖσα, τὴν αὐτὴν ἐκείνῃ στολὴν φοροῦσα, ὤμοσεν [αὐτοῦ] μεῖναι παρθένον. Ζεὺς δὲ, ἐρασθεὶς, πικούσῃ συνευνάζεται, εἰκασθεὶς, ὡς μὲν ἔνιοι λέγουσιν, Ἀρτέμιδι· ὡς δὲ ἔνιοι, Ἀπόλλωνι. βουλόμενος δὲ Ἥραν λαθεῖν, εἰς ἄρκτον μετεμόρφωσεν αὐτήν. Ἥρα δὲ ἔπεισεν Ἄρτεμιν, ὡς ἄγριον θηρίον κατατοξεῦσαι. εἰσὶ δὲ οἱ λέγοντες, ὡς Ἄρτεμις αὐτὴν κατετόξευσεν, ὅτι τὴν παρθενίαν οὐκ ἐφύλαξεν. ἀπολομένης δὲ Καλλιστοῦς Ζεὺς τὸ βρέφος ἁρπάσας, ἐν Ἀρκαδίᾳ δίδω-

III. 8, 2. Callisto in vrsam mutata; ex ea natus Arcas.

δοσιν ἀνατρέφειν Μαίᾳ, προσαγορεύσας Ἀρκάδα· τὴν δὲ Καλλιστὼ καταστερίσας ἐκάλεσεν Ἄρκτον.

Ἀρκάδος δὲ καὶ Λεανείρας Cap. IX,
τῆς Ἀμύκλου, ἢ Μεγανείρας τῆς Κρέ- 1
κωνος, ὡς δὲ Εὔμηλος λέγει, νύμφης Χρυσοπελείας, ἐγένοντο παῖδες Ἔλατος καὶ Ἀφείδας. οὗτοι τὴν γῆν ἐμερίσαντο, τὸ δὲ πᾶν πράτος εἶχεν Ἔλατος· ὃς ἐκ Λαοδίκης τῆς Κινύρου Στύμφαλον καὶ Περέα τεκνοῖ, Ἀφείδας δὲ Ἄλεον καὶ Σθενέβοιαν, ἣν γαμεῖ Προῖτος.

Ἀλέου δὲ καὶ Νεαίρας τῆς Περσέως θυγάτηρ μὲν Αὐγή, υἱοὶ δὲ Κηφεὺς καὶ Λυκοῦργος· αὐτὴ μὲν οὖν ὑφ' Ἡρακλέους φθαρεῖσα, κατέκρυψε τὸ βρέφος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς, ἧς εἶχε τὴν ἱερωσύνην. ἀκάρπου δὲ τῆς γῆς με-

III, 9, 1. Arcadis posteritas.

μενούσης, καὶ μηνύόντων τῶν χρησμῶν, εἶναί τι ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς δυσσέβημα, φωραθεῖσα ὑπὸ τοῦ πατρὸς, παρεδόθη Ναυπλίῳ ἐπὶ θανάτῳ· παρ' οὗ Τεύθρας ὁ Μυσῶν δυνάστης παραλαβὼν αὐτὴν ἔφθειρε. Τὸ δὲ βρέφος ἐκτεθὲν ἐν ὄρει Παρθενίῳ, θηλὴν ὑπασχούσης ἐλάφου, Τήλεφος ἐκλήθη. καὶ τραφεὶς ὑπὸ τῶν Κορύθου βουκόλων, καὶ ζητήσας τοὺς γονέας, ἦλθεν εἰς Δελφούς. καὶ μαθὼν παρὰ τοῦ θεοῦ, παραγενόμενος εἰς Μυσίαν, θετὸς παῖς Τεύθραντος γίνεται, καὶ τελευτῶντος αὐτοῦ διάδοχος τῆς δυναστείας γίνεται.

2 Λυκούργου δὲ καὶ Κλεοφίλης, ἢ Εὐρυνόμης, Ἀγκαῖος καὶ Ἔπογος καὶ Ἀμφιδάμας καὶ Ἴασος. Ἀμφιδάμαντος δὲ Μαιλανίων καὶ θυγάτηρ Ἀντιμάχη, ἣν Εὐρυσθεὺς ἔγημεν. Ἰάσου δὲ καὶ Κλυμένης

III, 9. 1. Ex Auge et Hercule Telephum. 2. Atalanta venatrix, cursu victa

νης τῆς Μινύου Ἀταλάντη ἐγένετο, ταύτης ὁ πατὴρ, ἀῤῥένων παίδων ἐπιθυμῶν ἐξέθηκεν αὐτήν· ἄρκτος δὲ φειδῶσα πολλάκις θηλὴν ἐδίδου, μέχρις οὗ εὑρόντες κυνηγοὶ παρ' ἀνθρώποις ἀνέτρεφον. Τελεία δὲ Ἀταλάντη γενομένη, παρθένον ἑαυτὴν ἐφύλαττε, καὶ θηρεύουσα ἐν ἐρημίᾳ καθωπλισμένη διετέλει. βιάζεσθαι δὲ αὐτὴν ἐπιχειροῦντες Κένταυροι Ῥῆκός καὶ Ὑλαῖος, κατατοξευθέντες ὑπ' αὐτῆς ἀπέθανον. Παρεγένετο δὲ μετὰ τῶν ἄλλων ἀριστέων καὶ ἐπὶ τὸν Καλυδώνιον κάπρον, καὶ ἐν τῷ ἐπὶ Πελίᾳ τεθέντι ἀγῶνι ἐπάλαισε Πηλεῖ, καὶ ἐνίκησεν· Ἀνευροῦσα δὲ ὕστερον τοὺς γονέας, ὡς ὁ πατὴρ γαμεῖν αὐτὴν ἠνάγκαζεν, ἀπιοῦσα εἰς στενωπαῖον τόπον, καὶ πήξασα μέσην σκόλοπα τριπηχυν, ἐφεστῶσαν τῶν μνηστευομένων τοὺς δρόμους προῆγεν, ἱππόχαρις καθωπλισμένη· καὶ καταληφθέντι μὲν,

III, 9, 2. a Milesiens; et cum eo

αὐτῷ. Διάνειρος ἀφείλετο· μὴ καταλη-
φθέντι δὲ, γάμος. ἤδη δὲ πολλῶν
ἀπολλυμένων, Μειλανίων αὐτῆς ἐρα-
σθεὶς ἦκεν ἐπὶ τὸν δρόμον, χρύσεα
μῆλα κομίζων παρ' Ἀφροδίτης, καὶ
διωκόμενος ταῦτα ἔρριπτεν. ἡ δὲ, ἀνα-
ρουμένη τὰ ῥιπτούμενα, τὸν δρόμον ἀνε-
κήθη. ἔγημεν οὖν αὐτὴν Μειλανίων.
καί ποτε λέγεται [μὴ] θηρεύοντας αὐ-
τοὺς εἰσελθεῖν εἰς τὸ τέμενος Διὸς, κἀ-
κεῖ συνουσιάζοντας, εἰς λέοντας ἀλλα-
γῆναι. Ἡσίοδος δὲ καί τινες ἕτεροι τὴν
Ἀταλάντην οὐκ Ἰάσου ἀλλὰ Σχοινέως
εἶπον· Εὐριπίδης δὲ Μαινάλου· καὶ τὸν
γήμαντα αὐτὴν οὐ Μειλανίωνα, ἀλλὰ
Ἱππομένην. ἐγέννησε δὲ ἐκ Μειλανίω-
νος Ἀτάλαντα, ᾧ Ἄρκος, Παρθα-
νοπαῖον, ὃς ἐπὶ Θήβας ἐστρατεύ-
σατο.

Ἄτλαν-

III, 9, 2. in leonem mutatis.

Ἄτλαντος δὲ καὶ τῆς Ὠκεανοῦ Cap. X.
Πληϊόνης ἐγένοντο θυγατέρες ἑπτὰ ἐν 1
Κυλλήνῃ τῆς Ἀρκαδίας, αἱ Πληϊάδες
προσαγορευθεῖσαι, Ἀλκυόνη, Μερόπη,
Κελαινὼ, Ἠλέκτρα, Στερόπη, Ταϋ-
γέτη, Μαῖα.

Τούτων Στερόπην μὲν, Οἰνόμαος
ἔγημε· Σίσυφος Μερόπην. Δυσὶ δὲ
ἐμίχθη Ποσειδῶν· πρώτῃ μὲν Κελαι-
νοῖ, ἐξ ἧς Λύκος ἐγένετο, ὃν Ποσει-
δῶν ἐν μακάρων ὤκισε νήσοις. δευ-
τέρᾳ δὲ Ἀλκυόνῃ· ἣ θυγατέρα μὲν
ἐτέκνωσεν Αἴθουσαν, τὴν Ἀπόλλωνι
Ἐλευθῆρα τεκοῦσαν, [καλλίστην], υἱοὺς
δὲ Ὑριέα καὶ Ὑπερήνορα. Ὑριέως μὲν
οὖν καὶ Κλονίης νύμφης Νυκτεὺς καὶ
Λύκος· Νυκτέως δὲ καὶ Πολυξοῦς, Ἀν-
τιόπη· Ἀντιόπης δὲ καὶ Διὸς, Ζῆθος
καὶ Ἀμφίων. Ταῖς δὲ λοιπαῖς Ἀτλαν-
τίσι Ζεὺς συνουσιάζει.

III, 10, 1. Atlantis et Pleiones VII filiae.

Μαῖα μὲν οὖν ἡ πρεσβυτάτη Διὶ
1 συνελθοῦσα, ἐν ἄντρῳ τῆς Κυλλήνης Ἑρμῆν τίκτει. οὗτος ἐν πρώτοις ἐπὶ ποῦ λίκνου κείμενος, ἐκδὺς, εἰς Πιερίαν παραγίνεται, καὶ κλέπτει βόας ἃς ἔνεμεν Ἀπόλλων. ἵνα δὲ μὴ φωραθείη ὑπὸ τῶν ἰχνῶν, ὑποδήματα τοῖς ποσὶ περιέθηκε, καὶ συμίσας εἰς Πύλον, τὰς μὲν λοιπὰς εἰς σπήλαιον ἀπέκρυψε, δύο δὲ καταδύσας, τὰς μὲν βύρσας πέτραις καθήλωτε, τῶν δὲ κρεῶν τὰ μὲν κατηνάλωσαν ἐψήσας, τὰ δὲ κατέκαυσε. καὶ ταχέως εἰς Κυλλήνην ᾤχετο, καὶ εὑρίσκει πρὸ τοῦ ἄντρου χελώνην. ταύτην ἐκκαθάρας, εἰς τὸ κοῖλον χορδὰς ἐπτείνας ἐξ ὧν ἔθυτε βοῶν, καὶ ἐργασάμενος λύραν αὖρα καὶ πλῆκτρον. Ἀπόλλων δὲ τὰς βόας ζητῶν, εἰς Πύλον ἀφικνεῖται.

καὶ

III. 10. 2. Ex Maïa Mercurius natus, qui fraudibus plen

καὶ τοὺς κατοικοῦντας ἀνέκρινεν. οἱ δὲ ἰδεῖν μὲν παῖδα ἐλαύνοντα ἔφασκον· οὐκ ἔχειν δὲ εἰπεῖν ποῖ ποτε ἠλάθησαν, διὰ τὸ μὴ εὑρεῖν ἴχνος δύνασθαι. μαθὼν δὲ ἐκ τῆς μαντικῆς τὸν κεκλοφότα, πρὸς Μαῖαν εἰς Κυλλήνην παραγίνεται. καὶ τὸν Ἑρμῆν ᾐτιᾶτο. ἡ δὲ ἐπέδειξεν αὐτὸν ἐν τοῖς σπαργάνοις. Ἀπόλλων δὲ αὐτὸν πρὸς Δία κομίσας, τὰς βόας ἀπῄτει. Διὸς δὲ κελεύοντος ἀποδοῦναι, ἠρνεῖτο. μὴ πείθων δὲ, ἄγει τὸν Ἀπόλλωνα εἰς Πύλον καὶ τὰς βόας ἀποδίδωσιν. ἀκούσας δὲ τῆς λύρας ὁ Ἀπόλλων ἀντιδίδωσι τὰς βόας. Ἑρμῆς δὲ ταύτας νέμων, σύριγγα πάλιν πηξάμενος ἐσύριζεν. Ἀπόλλων δὲ καὶ ταύτην βουλόμενος λαβεῖν, τὴν χρυσῆν ῥάβδον ἐδίδου, ἣν ἐκέκτητο βουκολῶν. ὁ δὲ καὶ ταύτην λαβεῖν ἀντὶ τῆς σύριγ-

III, 10, 2. Apollinem aggressus, reperit lyram et syringem.

γος ἤθελε, καὶ τὴν μαντικὴν ἐπελθεῖν· καὶ δοὺς διδάσκεται τὴν διὰ τῶν ψώφων μαντικήν. Ζεὺς δὲ αὐτὸν κήρυκα ἑαυτοῦ καὶ θεῶν ὑποχθονίων τίθησι.

3 Ταϋγέτη δὲ ἐκ Διὸς, Λακεδαίμονα· ἀφ' οὗ καὶ Λακεδαίμων ἡ χώρα καλεῖται. Λακεδαίμονος δὲ καὶ Σπάρτης τῆς Εὐρώτα, ὃς ἦν ἀπὸ Λέλεγος αὐτόχθονος καὶ νύμφης Νηΐδος Κλεοχαρείας, Ἀμύκλας καὶ Εὐρυδίκη, ἣν ἔγημεν Ἀκρίσιος. Ἀμύκλα δὲ καὶ Διομήδης τῆς Λαπίθου Κυνόρτης, καὶ Ὑάκινθος. τοῦτον εἶναι Ἀπόλλωνος ἐρώμενον λέγουσιν· ὃν δίσκῳ βαλὼν, ἄκων ἀπέκτεινε. Κυνόρτου δὲ Περιήρης, ὃς γαμεῖ Γοργοφόνην τὴν Περσέως, καθάπερ Στησίχορός φησι· καὶ τίκτει Τυνδάρεων, Ἰκάριον, Ἀφαρέα, Λεύκιππον. Ἀφαρέως μὲν οὖν καὶ Ἀρήνης, τῆς

III, 10, 3. Taygetes progenies;

τῆς Οἰβάλου, Λυγκεύς τε καὶ Ἴδας καὶ Πεῖσος. κατὰ πολλοὺς δὲ, Ἴδας ἐκ Ποσειδῶνος λέγεται. Λυγκεὺς δὲ ὀξυδερκίᾳ διήνεγκεν, ὡς καὶ τὰ ὑπὸ γῆν θεωρεῖν. Λευκίππου δὲ [καὶ Φιλαδίκης τῆς Ἰνάχου] θυγατέρας ἐγένοντο Ἱλάειρα καὶ Φοίβη. ταύτας ἁρπάσαντες, ἔγημαν Διόσκουροι. πρὸς δὲ ταύταις, Ἀρσινόην ἐγένοντο. ταύτῃ μίγνυται Ἀπόλλων· ἡ δὲ Ἀσκληπιὸν γεννᾷ. τινὲς δὲ Ἀσκληπιὸν οὐκ ἐξ Ἀρσινόης τῆς Λευκίππου λέγουσιν, ἀλλ' ἐκ Κορωνίδος τῆς Φλεγύου ἐν Θεσσαλίᾳ· καὶ φασὶν ἐρασθῆναι ταύτης Ἀπόλλωνα, καὶ εὐθέως συνελθεῖν. τὴν δὲ, παρὰ τὴν τοῦ πατρὸς γνώμην [ἑλομένην] Ἰσχύι [τῷ Ἐλάτου υἱῷ] συνοικεῖν. Ἀπόλλων δὲ τὸν μὲν ἀπαγγείλαντα κόρακα καταρᾶται. ὃς τέως λευκὸν ἐόντα ἐποίησε μέλανα. αὐτὴν δὲ ἀπέκτεινε.

III, 10, 3. ex qua oriunda Arsinoe.

παιόμενης δὲ αὐτῆς ἀφαιρεῖται τὸ βρέφος ἐκ τῆς πυρᾶς, καὶ πρὸς Χείρωνα τὸν Κένταυρον ἤνεγκε· παρ' ᾧ καὶ τὴν ἰατρικὴν καὶ τὴν κυνηγετικὴν τρεφόμενος ἐδιδάχθη. καὶ γενόμενος χειρουργικὸς, καὶ τὴν τέχνην ἀσκήσας ἐπὶ πολὺ, οὐ μόνον ἐκώλυέ τινας ἀποθνήσκειν, ἀλλ' ἀνήγειρε καὶ τοὺς ἀποθανόντας. παρὰ γὰρ Ἀθηνᾶς λαβὼν τὸ ἐκ τῶν Φλεβῶν τῆς Γοργόνος ῥυὲν αἷμα, τὸ μὲν ἐκ τῶν ἀριστερῶν ῥυὲν, πρὸς φθορὰν ἀνθρώπων ἐχρῆτο· τὸ δὲ ἐκ τῶν δεξιῶν, πρὸς σωτηρίαν· καὶ διὰ τούτου τοὺς τεθνηκότας ἀνήγειρεν. εὗρον δέ τινες λεγομένους ἀναστῆναι ὑπ' αὐτοῦ Καπανέα καὶ Λυκοῦργον· ὡς δὲ Στησίχορός φησιν, Ἔριφύλην· Ἱππόλυτον, ὡς ὁ τὰ Νωπακτικὰ συγγράψας λέγει· Τυνδάρεων, ὥς φησι Πανύασις· Τρόπαιον, ὡς

III, 10, 3. Aesculapii mater. Is, cum mortuos in vitam reftitueret,

καὶ οἱ Ὀρφικοὶ λέγουσι. Γλαῦκον τὸν
Μίνωος, ὡς Μνησαγόρας λέγει. Ζεὺς 4
δὲ Φοβηθεὶς, μὴ λαβόντες ἄνθρωποι θε-
ραπείαν, παρ' αὐτῶν βοηθῶσιν ἀλλή-
λοις, ἐκεραύνωσεν αὐτόν· καὶ διὰ τοῦτο
ὀργισθεὶς Ἀπόλλων, κτείνει Κύκλωπας,
τοὺς τὸν κεραυνὸν Διὶ κατασκευάσαντας.
Ζεὺς δὲ ἐμέλλησε ῥίπτειν αὐτὸν εἰς
Τάρταρον· δεηθείσης δὲ Λητοῦς, ἐκέ-
λευσεν αὐτὸν ἐνιαυτὸν ἀνδρὶ θητεῦσαι.
ὁ δὲ παραγενόμενος εἰς Φερὰς πρὸς
Ἄδμητον τὸν Φέρητος, τούτῳ λατρεύων
ἐποίμαινε. καὶ τὰς θηλείας βόας πά-
σας διδυματοκους ἐποίησεν.

Εἰσὶ δὲ οἱ λέγοντες Ἀφαρέα μὲν
καὶ Λεύκιππον ἐκ Περιήρους γενέσθαι
τοῦ Αἰόλου· Κυνόρτου δὲ Περιήρην·
τοῦ δὲ, Οἴβαλον· Οἰβάλου δὲ καὶ Νηΐ-

δος

III, 10, 4. fulmine percussus periit. Apollo Cyclopibus interemptis in servitutem Admeto traditur.

Alius stirpis

δος νύμφης Βατείας, Τυνδάρεων, Ἱπ-
ποκόωντα, Ἰκαρίωνα.

5 Ἱπποκόωντος μὲν οὖν ἐγένοντο παῖ-
δες Δορυκλεὺς, Σκαῖος, Ἐναρσφόρος,
Εὐτύχης, Βουκόλος, Λύκων, Τέβρος,
Ἱππόθοος, Εὔρυτος, Ἱπποκορυστὴς,
Ἀλκίνους, Ἄλκων. τούτους Ἱπποκόων
ἔχων παῖδας, Ἰκαρίωνα καὶ Τυνδά-
ρεων ἐξέβαλε Λακεδαίμονος. οἱ δὲ
φεύγουσι πρὸς Θέστιον, καὶ συμμα-
χοῦσιν αὐτῷ πρὸς τοὺς ὁμόρους πόλε-
μον ἔχοντι. καὶ γαμεῖ Τυνδάρεως Θε-
στίου θυγατέρα Λήδαν. αὖθις δὲ ὅτε
Ἡρακλῆς Ἱπποκόωντα καὶ τοὺς τού-
του παῖδας ἀπέκτεινε, κατέρχονται.
καὶ παραλαμβάνει Τυνδάρεως τὴν βα-
σιλείαν.

Ἰκα-

III, 10, 4. a Periere ductus ordo. 5. Hippocoontis progenies caesa ab Hercule. Tyndareus Spartam reductus.

Ἰκαρίου μὲν οὖν καὶ Περιβοίας 6
νύμφης Νηΐδος Θόας, Δαμάσιππος,
Ἰμεύσιμος, Ἀλήτης, Περίλεως, καὶ θυ-
γάτηρ Πηνελόπη, ἣν ἔγημεν Ὀδυσσεύς.
Τυνδάρεως καὶ Λήδας, Τιμάνδρα, ἣν
Ἔχεμος ἔγημε· καὶ Κλυταιμνήστρα, ἣν
ἔγημεν Ἀγαμέμνων· ἔτι τε Φιλονόη, ἣν
Ἄρτεμις ἀθάνατον ἐποίησε. Διὸς δὲ Λή- 7
δᾳ συνελθόντος ὀμοιωθέντος κύκνῳ, καὶ
κατὰ τὴν αὐτὴν νύκτα Τυνδάρεῳ, ἐκ
Διὸς μὲν ἐφαντήθη Πολυδεύκης καὶ Ἑλέ-
νη· Τυνδάρεῳ δὲ Κάστωρ. λέγουσι δέ
τινες Νεμέσεως Ἑλένην εἶναι καὶ Διός.
ταύτην γάρ, τὴν Διὸς φεύγουσαν συ-
ουσίαν, εἰς χῆνα τὴν μορφὴν μετα-
βαλεῖν· ὁμοιωθέντα δὲ καὶ Δία τῷ κύ-
κνῳ, συνελθεῖν· τὴν δὲ ὠὸν ἐκ τῆς συ-
ουσίας ἀποτεκεῖν. τοῦτο δὲ ἐν τοῖς
ἄλσεσιν εὑρόντά τινα ποιμένα, Λήδᾳ

κο-

III, 10, 6. Icarii progenies ex Tyndareo; in hac Helena.

ο νομίσαντα θεᾶναι. τὴν δὲ, κατασβεσθεῖσαν εἰς λάρνακα, φυλάσσειν καὶ χρόνῳ καθήκοντι γεννηθεῖσαν Ἑλένην ὡς ἐξ αὐτῆς θυγατέρα τρέφειν.

Γενομένην δὲ αὐτὴν κάλλει διαπρεπῆ Θησεὺς ἁρπάσας, εἰς Ἀθήνας ἐκόμισε. Πολυδεύκης δὲ καὶ Κάστωρ εἰς Ἀθήνας ἐπιστρατεύσαντες, ἐν Ἅιδου Θησέως ὄντος, αἱροῦσι τὴν πόλιν, καὶ τὴν Ἑλένην λαμβάνουσι, καὶ τὴν Θησέως μητέρα Αἴθραν ἄγουσιν αἰχμάλωτον.

β Παρεγένοντο δὲ εἰς Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ βασιλεύοντες Ἑλλάδος. Ἦσαν δὲ οἱ μνηστευόμενοι οἵδε· Ὀδυσσεὺς Λαέρτου, Διομήδης Τυδέως, Ἀντίλοχος Νέστορος, Ἀγαπήνωρ Ἀγκαίου, Σθένελος Καπανέως, Ἀμφίμαχος Κτεάτου, Θάλπιος Εὐρύτου, Μέγης Φυλέως, Ἀμφίλοχος Ἀμφιαράου, Με-

---

III, 10, 7. Helena a Theseo rapta. 8. Proci Helenae.

Μενεσθεὺς Πετεώ, Σχεδίας Ἐπιστρόφου, Πολύξενος Ἀγασθένους, Πηνέλεως Λήιτου, Αἴας Ὀϊλέως, Ἀσκάλαφος καὶ Ἰάλμενος Ἄρεος, Ἐλεφήνωρ Χαλκώδοντος, Εὔμηλος Ἀδμήτου, Πολυποίτης Πειρίθου, Λεοντεὺς Κορώνου, Ποδαλείριος καὶ Μαχάων Ἀσκληπιοῦ, Φιλοκτήτης Ποίαντος, Εὐρύπυλος Εὐαίμονος, Πρωτεσίλαος Ἰφίκλου, Μενέλαος Ἀτρέως, Αἴας καὶ Τεῦκρος Τελαμῶνος, Πάτροκλος Μενοιτίου. Τούτων 9
ὁρῶν τὸ πλῆθος Τυνδάρεως, ἐδεδοίκει, μὴ, πριθέντος ἑνός, στασιάσωσιν οἱ λοιποί. ὑποσχομένου δὲ τοῦ Ὀδυσσέως, ἐὰν συλλάβηται πρὸς τὸν Πηνελόπης αὐτῷ γάμον, ὑποθήσεσθαί τρόπον τινὰ, δι' οὗ μηδεμία γενήσεται στάσις· ὡς ὑπέσχετο αὐτῷ συλλήψεσθαι ὁ Τυνδάρεως, πάντας εἶπεν ἐξορκίσαι τοὺς μνη-

στῆ-

III. 10. 9. Ita iurisiurando a Tyndareo obstrictis, elocatur filia Menelao.

στῆρας βοηθήσειν, ἐὰν ὁ προκριθεὶς νυμφίος ὑπὸ ἄλλου τινὸς ἀδικῆται περὶ τὸν γάμον. ἀκούσας δὲ τοῦτο Τυνδάρεως τοὺς μνηστῆρας ἐξορκίζει· καὶ Μενέλαον μὲν αὐτὸς αἱρεῖται νυμφίον, Ὀδυσσεῖ δὲ παρὰ Ἰκαρίου μνηστεύεται Πηνελόπην.

Cap. XI. Μενέλαος μὲν οὖν ἐξ Ἑλένης
1 Ἑρμιόνην ἐγέννησε, καὶ κατά τινας Νικόστρατον· ἐκ δούλης Πιερίδος, γένος Αἰτωλίδος, ἥ, καθάπερ Ἀκουσίλαός φησι, Τηριδάης, Μεγαπένθη· ἐκ Κνωσσίας δὲ νύμφης, κατὰ Εὔμηλον, Ζονόδαμον.

2 Τῶν δὲ ἐκ Λήδας γενομένων παίδων, Κάστωρ μὲν ἤσκει τὰ κατὰ πόλεμον, Πολυδεύκης δὲ πυγμήν· καὶ διὰ τὴν ἀνδρείαν ἐκλήθησαν ἀμφότεροι Διόσκουροι. βουλόμενοι δὲ γῆμαι τὰς Λευκίπ-

III. 11, 1. Menelai progenies. 2. Dioscuri in pugna cum Ida et Lynceos, Apharei filiis.

κίππου θυγατέρας, ἐκ Μεσσήνης ἁρπασαντες, ἔγημαν. καὶ γίνεται μὲν Πολυδεύκους καὶ Φοίβης, Μνησίλεως· Κάστορος δὲ καὶ Ἰλαείρας, Ἀκώγων. Ἐλάσαντες δὲ ἐκ τῆς Ἀρκαδίας λείαν μετὰ τῶν Ἀφαρέως παίδων Ἴδα καὶ Λυγκέως, ἐπιτρέπουσιν Ἴδᾳ διελεῖν· ὁ δὲ, τεμὼν βοῦν εἰς μέρη τέσσαρα, τοῦ πρώτου καταφαγόντος εἶπε τῆς λείας τὸ ἥμισυ ἔσεσθαι, καὶ τοῦ δευτέρου τὸ λοιπόν. καὶ φθάσας κατηνάλωσε τὸ μέρος τὸ ἴδιον πρῶτον Ἴδας, καὶ τὸ τοῦ ἀδελφοῦ· καὶ μετ' ἐκείνου τὴν λείαν εἰς Μεσσήνην ἤλασε. στρατεύσαντες δὲ ἐπὶ Μεσσήνην οἱ Διόσκουροι, τήν τε λείαν ἐκείνην καὶ πολλὴν ἄλλην συνελαύνουσι· καὶ τὸν Ἴδαν ὑπὸ δρυὶ ἐλόχων, καὶ τὸν Λυγκέα. Λυγκεὺς δὲ ἰδὼν

III, 11, 2. victi immortalitatem alternis consequuntur.

ἰδὼν Κάστορα ἐμήνυσεν Ἴδᾳ· κἀκεῖνος αὐτὸν κτείνει. Πολυδεύκης δὲ ἐδίωξεν αὐτοὺς, καὶ τὸν μὲν Λυγκέα κτείνει τὸ δόρυ προέμενος· τὸν δὲ Ἴδαν διώκων, βληθεὶς ὑπ' ἐκείνου πέτρᾳ κατὰ τῆς κεφαλῆς, πίπτει σκοτωθείς. καὶ Ζεὺς Ἴδαν κεραυνοῖ, Πολυδεύκην δὲ εἰς οὐρανὸν ἀνάγει. Μὴ δεχομένου δὲ Πολυδεύκους τὴν ἀθανασίαν, ὄντος νεκροῦ Κάστορος, Ζεὺς ἀμφοτέροις, παρ' ἡμέραν καὶ ἐν θεοῖς εἶναι καὶ ἐν θνητοῖς, ἔδωκε.

Μεταστάντων δὲ εἰς θεοὺς τῶν Διοσκούρων, Τυνδάρεως μεταπεμψάμενος Μενέλαον εἰς Σπάρτην, τούτῳ τὴν βασιλείαν παρέδωκεν.

Cap. XII, Ἠλέκτρας δὲ τῆς Ἄτλαντος καὶ
1 Διὸς, Ἰασίων καὶ Δάρδανος ἐγένοντο. Ἰασίων μὲν οὖν, ἐρασθεὶς Δήμητρος, καὶ

III, 12, 1. Electrae, Atlantis filiae, (v. cap. 10. 1.) progenies ex Iove:

καὶ θέλων καταισχύναι τὴν θεὸν, κεραυνοῦται. Δάρδανος δὲ ἐπὶ τῷ θανάτῳ τοῦ ἀδελφοῦ λυπούμενος, Σαμοθράκην ἀπολιπὼν, εἰς τὴν ἀντίπερα ἤπειρον ἦλθε. Ταύτης δὲ ἐβασίλευε Τεῦκρος ποταμοῦ Σκαμάνδρου καὶ Νύμφης Ἰδαίας· ἀφ' οὗ καὶ οἱ τὴν χώραν νεμόμενοι Τεῦκροι προσηγορεύοντο. Ὑποδεχθεὶς δὲ ὑπὸ τοῦ βασιλέως καὶ λαβὼν μέρος τῆς γῆς, καὶ τὴν ἐκείνου θυγατέρα Βατείαν, Δάρδανον ἔκτισε πόλιν. Τελευτήσαντος δὲ Τεύκρου, τὴν 2
χώραν ἅπασαν Δαρδανίαν ἐκάλεσε. Γενομένων δὲ αὐτῷ παίδων Ἴλου καὶ Ἐριχθονίου, Ἶλος μὲν οὖν ἅπαις ἀπέθανεν· Ἐριχθόνιος δὲ διαδεξάμενος τὴν βασιλείαν, γήμας Ἀστυόχην τὴν Σι-

 μόεν-

III, 12, 1. Iasion et Dardanus: is Batiam Teucri filiam ducit, Dardaniam condit. 2. Dardani filii Ilus I. et Erichthonius. Huius f. Tros: ex quo natus Ilus II.

μόεντος, τεκνοῖ Τρῶα. Οὗτος παραλαβὼν τὴν βασιλείαν, τὴν μὲν χώραν ἀφ' ἑαυτοῦ Τροίαν ἐκάλεσε. καὶ γήμας Καλιῤῥόην τὴν Σκαμάνδρου, γεννᾷ θυγατέρα μὲν Κλεοπάτραν, παῖδας δὲ, Ἴλον καὶ Ἀσσάρακον καὶ Γανυμήδην. Τοῦτον μὲν οὖν διὰ κάλλος ἀναρπάσας Ζεὺς δι' ἀετοῦ, θεῶν οἰνοχόον ἐν οὐρανῷ κατέστησεν. Ἀσσαράκου δὲ καὶ Ἱερομνήμης τῆς Σιμόεντος, Κάπυς· τοῦ δὲ, καὶ Θέμιδος τῆς Ἴλου, Ἀγχίσης· ᾧ δι' ἐρωτικὴν ἐπιθυμίαν Ἀφροδίτη συνελθοῦσα, Αἰνείαν ἐγέννησε καὶ Λύρον, ὃς ἅπαις ἀπέθανε.

3 Ἴλος δὲ εἰς Φρυγίαν ἀφικόμενος, καὶ καταλαβὼν ὑπὸ τοῦ βασιλέως αὐτόθι τεθειμένον ἀγῶνα, νικᾷ πάλην· καὶ λαβὼν ἆθλον πεντήκοντα κούρους καὶ

III, 12, 2. Ganymedes et Assaracus: Ex hoc Capys, Anchisae pater, anus Aeneae. 3. At Ilus condit

καὶ πύρας τὰς ἴσας· ὄντος αὐτῷ τοῦ βασιλέως κατὰ χρησμὸν καὶ βοῦν ποικίλην, καὶ Φρίξαντος, ἐν ᾧπερ ἂν αὐτὴ πλιθῇ τόπῳ, πόλιν κτίζειν, ἔδοξε τῇ βοΐ. ἡ δὲ ἀφικομένη ἐπὶ τὸν λεγόμενον τῆς Φρυγίας Ἄτης λόφον, κλίνεται· ἔνθα πόλιν κτίσας Ἶλος, τοὔνομα μὲν Ἴλιον ἐκάλεσε. Τῷ δὲ Διὶ σημεῖον αἰτήσαντος αὐτῷ τι φανῆναι, μεθ' ἡμέραν τὸ διιπετὲς Παλλάδιον πρὸ τῆς σκηνῆς κείμενον ἐθεάσατο. ἦν δὲ τῷ μεγέθει τριπήχυ, τοῖς δὲ ποσὶ συμβεβηκὸς, καὶ τῇ μὲν δεξιᾷ δόρυ διηρμένον ἔχον, τῇ δὲ ἑτέρᾳ ἠλακάτην καὶ ἄτρακτον.

Ἱστορία δὲ ἡ περὶ τοῦ Παλλαδίου τοιήδε φέρεται. Φασὶ γεννηθεῖσαν τὴν Ἀθηνᾶν παρὰ Τρίτωνι τρέφεσθαι, ᾧ θυγάτηρ ἦν Παλλάς· ἀμφοτέρας δὲ, ἀσκούσας τὰ κατὰ πόλεμον, εἰς φιλο-

III, 12, 3. Ilium in Asse colle. Narratio

νεικίαν ποτὲ προελθεῖν. μελλούσης δὲ πλήττειν τῆς Παλλάδος, τὸν Δία, φοβηθέντα, τὴν αἰγίδα προτεῖναι. τὴν δὲ εὐλαβηθεῖσαν ἀναβλέψαι, καὶ οὕτως ὑπὸ τῆς Ἀθηνᾶς τρωθεῖσαν πεσεῖν. Ἀθηνᾶν δὲ, περίλυπον ἐπ' αὐτῇ γενομένην, ξόανον ἐκείνης ὅμοιον κατασκευάσασαν, καὶ περιθεῖναι τοῖς στέρνοις ἣν ἔδεισεν αἰγίδα, καὶ τιμᾷν ἱδρυσαμένην παρὰ τῷ Διί. ὕστερον δὲ Ἠλέκτρας κατὰ τὴν φθορὰν τούτῳ προσφυγούσης, διαφόψαι μετ' Ἄτης καὶ τὸ Παλλάδιον εἰς τὴν Ἰλιάδα χώραν. Ἴλον δὲ τούτου ναὸν κατασκευάσαντα τιμᾷν. καὶ περὶ μὲν Παλλαδίου ταῦτα λέγεται.

Ἴλος δὲ γήμας Εὐρυδίκην τὴν Ἀδράστου, Λασμέδοντα ἐγέννησεν· ὃς γαμεῖ Στρυμὼ τὴν Σκαμάνδρου· κατὰ δέ τινας, Πλακίαν τὴν Ἀτρέως, κατ' ἐνίους δὲ,

III, 12, 3. de Palladio. III f. Laomedon.

δὲ, Λεκκίππου· καὶ τεκνοῖ παῖδας μὲν Τιθωνὸν, Λάμπωνα, Κλύτιον, Ἱκετάονα, Ποδάρκην· θυγατέρας δὲ, Ἡσιόνην, καὶ Κίλλαν καὶ Ἀστυόχην· ἐκ δὲ νύμφης Καλύβης Βουκολίωνα.

Τιθωνὸν μὲν οὖν Ἠὼς ἁρπάσασα δι' ἔρωτα, εἰς Αἰθιοπίαν κομίζει· κἀκεῖ συνελθοῦσα γεννᾷ παῖδας Ἡμαθίωνα καὶ Μέμνονα. 4

Μετὰ δὲ τὸ αἱρεθῆναι Ἴλιον ὑπὸ Ἡρακλέους, ὡς μικρὸν πρόσθεν ἡμῖν λέλεκται, ἐβασίλευσε Ποδάρκης ὁ κληθεὶς Πρίαμος· καὶ γαμεῖ πρώτην Ἀρίσβην τὴν Μέροπος· ἐξ ἧς αὐτῷ παῖς Αἴσακος γίνεται, ὃς ἔγημεν Ἀστερόπην τὴν Κεβρῆνος θυγατέρα, ἣν πενθῶν ἀποθανοῦσαν ἀπωρνεώθη. Πρίαμος δὲ Ἀρίσβην ἐκδοὺς Ὑρτάκῳ, δευ- 5

III. 12. 3. Huius progenies. 4. Tithonus Memnonem ex Aurora suscipit. 5. Priami liberi:

τέραν ἔγημεν Ἑκάβην τὴν Δύμαντος, ἢ ὥς τινές φασι, Κισσέως· ἢ ὡς ἕτεροι λέγουσιν, Σαγγαρίου ποταμοῦ καὶ Μετώπης. γεννᾶται δὲ αὐτῇ πρῶτος μὲν Ἕκτωρ· δευτέρου δὲ γεννᾶσθαι μέλλοντος βρέφους, ἔδοξεν Ἑκάβῃ καθ' ὕπαρ δαλὸν τεκεῖν διάπυρον· τοῦτον δὲ πᾶσαν ἐπινέμεσθαι τὴν πόλιν καὶ καίειν. Μαθὼν δὲ Πρίαμος παρ' Ἑκάβης τὸν ὄνειρον, Αἴσακον τὸν υἱὸν μετεπέμψατο· ἦν γὰρ ὀνειροκρίτης παρὰ τοῦ μητροπάτορος Μέροπος διδαχθείς. οὗτος εἰπὼν, τῆς πατρίδος γενέσθαι τὸν παῖδα ἀπώλειαν, ἐκθεῖναι τὸ βρέφος ἐκέλευσε. Πρίαμος δὲ, ὡς ἐγεννήθη τὸ βρέφος, δίδωσιν ἐκθεῖναι οἰκέτῃ κομίσοντι εἰς Ἴδην. ὁ δὲ οἰκέτης Ἀγέλαος ὠνομάζετο·

III, 12, 5. ex iis Hector, maior natu; tum Paris seu Alexander; somnio Hecubae monitus Priamus puerum exponi iubet: ut fernatus agnoscitur a parentibus.

ζετο· τὸ δὲ ἐκτεθὲν ὑπὸ τούτου βρέφος, πένθ' ἡμέρας ὑπὸ ἄρκτου ἐτράφη. ὁ δὲ σωζόμενον εὑρὼν, ἀναιρεῖται. καὶ κομίσας, ἐπὶ τῶν χωρίων ὡς ἴδιον παῖδα ἔτρεφεν, ὀνομάσας Πάριν. Γενόμενος δὲ νεανίσκος, καὶ πολλῶν διαφέρων κάλλει τε καὶ ῥώμῃ, αὖθις Ἀλέξανδρος προσωνομάσθη λῃστὰς ἀμυνόμενος, καὶ τοῖς ποιμνίοις ἀλεξήσας, ὅπερ ἐστὶ βοηθήσας. καὶ μετ' οὐ πολὺ τοὺς γονέας ἀνεῦρε.

Μετὰ τοῦτον ἐγέννησεν Ἑκάβη θυγατέρας μὲν Κρέουσαν, Λαοδίκην, Πολυξένην, Κασσάνδραν· ἣ συνελθεῖν βουλόμενος Ἀπόλλων, τὴν μαντικὴν ὑπέσχετο διδάξειν. ἡ δὲ μαθοῦσα οὐ συνῆλθεν. ὅθεν Ἀπόλλων ἀφείλετο τῆς μαντικῆς αὐτοῦ τὸ πείθειν. Αὖθις δὲ παῖδας ἐγέννησε Δηΐφοβον, Ἕλενον, Πάμμονα, Πολίτην, Ἄντιφον, Ἱππό-

III, 12, 5. Cassandra vates.

νοος, Πολύδωρος, Τρώϊλος. τοῦτον ἐξ Ἀπόλλωνος λέγεται γεγεννηκέναι.

Ἐκ δὲ ἄλλων γυναικῶν Πριάμῳ παῖδες γίνονται, Μελάνιππος, Γοργυθίων, Φιλαίμων, Ἱππόθοος, Γλαῦκος, Ἀγάθων, Χερσιδάμας, Εὐαγόρας, Ἱπποδάμας, Μήστωρ, Ἄτας, Δόρυκλος, Δυκάων, Δρύοψ, Βίας, Χρόμιος, Ἀστύγονος, Τελέστας, Εὔανδρος, Κεβριόνης, Μήλιος, Ἀρχέμαχος, Λαοδόκος, Ἐχέφρων, Ἰδομενεὺς, Ὑπερίων, Ἀσκάνιος, Δημοκόων, Ἄλλητος, Δηϊόπτης, Κλόνιος, Ἐχέμων, Ὑπείροχος, Αἰγεωνεὺς, Λυσίθοος, Πολυμέδων. θυγατέρες δὲ, Μέδουσα, Μηδεσικάστη, Λυσιμάχη, Ἀριστοδήμη.

6 Ἕκτωρ μὲν οὖν Ἀνδρομάχην τὴν Ἠετίωνος γαμεῖ. Ἀλέξανδρος δὲ Οἰνώνην τὴν Κεβρῆνος τοῦ ποταμοῦ θυγα-

III, 12, 5. Reliqui Priami filii et filiae. 6. Hector Andromachen.

γατέρα. αὕτη παρὰ Ῥέας τὴν μαντικὴν μαθοῦσα, προὔλεγεν Ἀλέξανδρῳ μὴ πλεῖν ἐπὶ Ἑλένην· μὴ πείθουσα δὲ, εἶπεν, ἐὰν τροιθῇ, παραγενέσθαι πρὸς αὐτήν· μόνην γὰρ θεραπεῦσαι δύνασθαι. τὸν δὲ Ἑλένην ἐκ Σπάρτης ἁρπάσαι πολεμουμένης δὲ Τροίας, τοξευθέντα ὑπὸ Φιλοκτήτου τόξοις Ἡρακλείοις, πρὸς Οἰνώνην ἐπανελθεῖν εἰς Ἴδην. ἡ δὲ μνησικακοῦσα, θεραπεῦσαι οὐκ ἔφη. Ἀλέξανδρος μὲν οὖν εἰς Τροίαν κομιζόμενος ἐτελεύτα· Οἰνώνη δὲ, μετανοήσασα, τὰ πρὸς θεραπείαν φάρμακα ἔφερε· καὶ καταλαβοῦσα αὐτὸν νεκρὸν ἑαυτὴν ἀνήρτησεν.

Ὁ δὲ Ἀσωπὸς ποταμὸς, Ὠκεανοῦ καὶ Τηθύος· ὡς δὲ Ἀκουσίλαος λέγει, Πηροῦς καὶ Ποσειδῶνος· ὡς δέ τινες, Διὸς

καὶ

III. 12. 6. Pedi Oenonea coniugio habent. Sequitur noua stirps; Asopi f. Aegina

καὶ Εὐρυνόμης. οὗτος Μετώπην γημάμενος Ἀλλίωνος δὲ τοῦ ποταμοῦ θυγάτηρ αὕτη δύο μὲν παῖδας ἐγέννησεν, Ἰσμηνὸν καὶ Πελάγοντα, εἴκοσι δὲ θυγατέρας· ὧν μὲν μίαν Αἴγιναν ἥρπασε Ζεύς. ταύτην Ἀσωπὸς ζητῶν, ἧκεν εἰς Κόρινθον, καὶ μανθάνει παρὰ Σισύφου τὸν ἡρπακότα εἶναι Δία. Ζεὺς δὲ Ἀσωπὸν μὲν κεραυνώσας δαίκοντα, πάλιν ἐπὶ τὰ οἰκεῖα ἀπέπεμψε ῥεῖθρα. διὰ τοῦτο, μέχρι καὶ νῦν, ἐκ τῶν τούτου ῥείθρων ἄνθρακες φέρονται.

Αἴγιναν δὲ εἰσκομίσας εἰς τὴν τότε Οἰκώνην λεγομένην νῆσον, νῦν δὲ Αἴγιναν ἀπ' ἐκείνης κληθεῖσαν, μίγνυται, καὶ τεκνοῖ παῖδα ἐξ αὐτῆς Αἰακόν. Τούτῳ Ζεὺς ὄντι μόνῳ ἐν τῇ νήσῳ τοὺς μύρμηκας ἀνθρώπους ἐπείησε. Γαμεῖ δὲ Αἰακὸς Ἐνδηΐδα, τὴν Χείρωνος,

---

III, 12, 6. Iuvenis rapta parit Aeacum. Ex hoc nati Peleus et Telamon.

νος, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο, Πηλεύς τε καὶ Τελαμών. Φερεκύδης δέ φησι Τελαμῶνα φίλον, οὐκ ἀδελφὸν Πηλέως εἶναι, ἀλλὰ Ἀκταίου παῖδα καὶ Γλαύκης τῆς Κυχρέως. Μίγνυται δὲ αὖθις Αἰακὸς Ψαμάθῃ τῇ Νηρέως εἰς πηγὴν ἠλλαγμένῃ διὰ τὸ μὴ βούλεσθαι συνελθεῖν, καὶ τεκνοῖ παῖδα Φῶκον.

Ἦν δὲ εὐσεβέστατος ἁπάντων Αἰακός. διὸ καὶ, τὴν Ἑλλάδα κατεχούσης ἀφορίας διὰ Πέλοπα, ὅτι Στυμφάλῳ τῷ βασιλεῖ τῶν Ἀρκάδων πολεμῶν, τὴν Ἀρκαδίαν ἑλεῖν μὴ δυνάμενος, προσποιησάμενος φιλίαν, ἔκτεινεν αὐτὸν καὶ διέσπειρε μελεΐσας, χρησμοὶ θεῶν ἔλεγον, ἀπαλλαγήσεσθαι τῶν ἐνεστώτων κακῶν τὴν Ἑλλάδα,

ἐὰν

III, 12, 6. tum Phocus. Aeaci pietas, deprecatio pro Hellade, honos apud inferos ei habitus,

ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς εὐχὰς ποιήσηται, ποιησαμένου δὲ εὐχὰς Αἰακοῦ, τῆς ἀκαρπίας ἡ Ἑλλὰς ἀπαλλάττεται. τιμᾶται δὲ καὶ παρὰ Πλούτωνι τελευτήσας Αἰακὸς, καὶ τὰς κλεῖς τοῦ Ἅδου φυλάττει.

Διαφέροντος δὲ ἐν τοῖς ἀγῶσι Φώκου, τοὺς ἀδελφοὺς Πηλέα καὶ Τελαμῶνα ἐπιβουλεῦσαι· καὶ λαχὼν κλήρῳ Τελαμὼν συγγυμναζόμενον αὐτὸν, βαλὼν δίσκῳ κατὰ τῆς κεφαλῆς, κτείνει· καὶ κομίσας μετὰ Πηλέως κρύπτει κατά τινος ὕλης. Φωραθέντος δὲ τοῦ φόνου, φυγάδες ἀπὸ Αἰγίνης ὑπὸ Αἰακοῦ ἐλαύνονται.

Καὶ Τελαμὼν μὲν εἰς Σαλαμῖνα παραγίνεται πρὸς Κυχρέα τὸν Ποσειδῶνος καὶ Σαλαμῖνος τῆς Ἀσωποῦ, κτείνας δὲ ὄφιν οὗτος ἀδικοῦντα τὴν νῆσον, ἧς αὐ-

III, 12, 6. vt aditum Orci seruet. Phoci caedes, et fratrum exilium.

αὐτὸς ἐβασίλευσε, καὶ τελευτῶν ἔπαις, τὴν βασιλείαν παραδίδωσι Τελαμῶνι. ὁ δὲ γαμεῖ Περίβοιαν τὴν Ἀκάστου τοῦ Πέλοπος, καὶ ποιησαμένου εὐχὰς Ἡρακλέους, ἵνα αὐτῷ παῖς ἄρρην γένηται, Φανέντος δὲ μετὰ τὰς εὐχὰς αὐτοῦ, τὸν γεννηθέντα ἐκάλεσεν Αἴαντα. καὶ στρατευσάμενος ἐπὶ Τροίαν σὺν Ἡρακλεῖ, λαμβάνει γέρας Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, ἐξ ἧς αὐτῷ γίνεται Τεῦκρος.

Πηλεὺς δὲ εἰς Φθίαν φυγὼν πρὸς Εὐρυτίωνα τὸν Ἄκτορος, ὑπ' αὐτοῦ καθαίρεται καὶ λαμβάνει παρ' αὐτοῦ τὴν θυγατέρα Ἀντιγόνην, καὶ τῆς χώρας τὴν τρίτην μοῖραν. καὶ γίνεται θυγάτηρ αὐτῷ Πολυδώρα, ἣν ἔγημε Βῶρος ὁ Περηβρεύς. ἐντεῦθεν δὲ ἐπὶ τὴν Cap. XIII. 1. 2.

III, 12, 6. Telamon ex Peribœa suscipit Aiacem. 13, 1. Peleus ab Eurytione lustratus, Antigone ducta socerum imprudens occidit.

τὴν θήραν τοῦ Καλυδωνίου κάπρου μετ' Εὐρυτίωνος ἐλθών, προέμενος ἐπὶ τὸν θῆρα ἀκόντιον, Εὐρυτίωνος τυγχάνει, καὶ κτείνει τοῦτον ἄκων.

Πάλιν μὲν οὖν ἐκ Φθίας φυγὼν εἰς Ἰωλκὸν, πρὸς Ἄκαστον ἀφικνεῖται, καὶ
3 ὑπ' αὐτοῦ καθαίρεται. ἀγωνίζεται δὲ καὶ τὸν ἐπὶ Παλίῃ ἀγῶνα, πρὸς Ἀταλάντην διαπαλαίσας. καὶ Ἀστυδάμεια, Ἀκάστου γυνὴ, Πηλέως ἐρασθεῖσα, περὶ συνουσίας προσέπεμψεν αὐτῷ λόγους. μὴ δυναμένη δὲ πεῖσαι, πρὸς τὴν γυναῖκα αὐτοῦ πέμψασα, ἔφη μέλλειν Πηλέα γαμεῖν Στερόπην τὴν Ἀκάστου θυγατέρα· καὶ τοῦτο ἐκείνη ἀκούσασα, ἀγχόνην ἀνάπτει· Πηλέως δὲ πρὸς Ἄκαστον κατασκευάζεται, λέγουσα, ὑπ' αὐτοῦ περὶ συνουσίας πεπειρᾶσθαι.

Ἀκα-

III, 13, 2. Iterum exulat apud Acaſtum. 3. Ab eius vxore ſruſtra ſollicitatus, ſtupri falſo crimine accuſatus,

Ἄκαστος ἀκούσας, κτεῖναι μὲν ὃν ἐκάθηρεν οὐκ ἠβουλήθη· ἄγει δὲ αὐτὸν ἐπὶ θήραν εἰς τὸ Πήλιον. ἔνθεν ἀμίλλης περὶ θήρας γενομένης, Πηλεὺς μὲν οὖν, ὧν ἐχειροῦτο θηρίων, τὰς γλώσσας τούτων ἐκτέμνων εἰς πήραν ἐτίθει· οἱ δὲ μετὰ Ἀκάστου ταῦτα χειρούμενοι κατεγέλων ὡς μηδὲν τεθηρευκότος τοῦ Πηλέως. ὁ δὲ τὰς γλώσσας παρασχόμενος, ὅσας εἶχεν, ἐκείνοις, τοσαῦτα ἔφη τεθηρευκέναι. ἀποκοιμηθέντος αὐτοῦ ἐν τῷ Πηλίῳ, ἀπολιπὼν Ἄκαστος καὶ τὴν μάχαιραν ἐν τῇ τῶν βοῶν κέπρῳ κρύψας, ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ ζητῶν τὴν μάχαιραν, ὑπὸ τῶν Κενταύρων καταληφθεὶς ἔμελλεν ἀπόλλυσθαι. σώζεται δὲ ὑπὸ Χείρωνος.

οὗ-

III, 13, 3. a marito in venatione inermis relinquitur; a Chirone servatus.



συναρπάζει. γινομένην δὲ ὑτὲ μὲν πῦρ, ὑτὲ δὲ ὕδωρ, ὑτὲ δὲ θηρίον, οὐ πρότερον ἀνῆκε πρὶν ἢ τὴν ἀρχαίαν μορφὴν εἶδεν ἀπολαβοῦσαν. γαμεῖ δὲ ἐν τῷ Πηλίῳ· κἀκεῖ θεοὶ τὸν γάμον εὐωχούμενοι καθύμνησαν. καὶ δίδωσι Χείρων Πηλεῖ δόρυ μελίνεον, Ποσειδῶν δὲ, ἵππους Βάλιον τε καὶ Ξάνθον. ἀθάνατοι δὲ ἦσαν οὗτοι.

Ὡς δὲ ἐγέννησε Θέτις ἐκ Πηλέως βρέφος, ἀθάνατον θέλουσα ποιῆσαι σοῦτο, κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρυβοῦσα τῆς νυκτὸς, ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον· μεθ' ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας, καὶ ἀσπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς, ἐβόησε· καὶ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον τὸν παῖδα ἀπολιποῦσα, πρὸς Νηρεΐδας ᾤχετο. νομίζει δὲ τὸν παῖδα πρὸς Χείρωνα Πη- 6

R 2 λεύς.

III, 13, 6. Achillis educatio.

λεύς. ὁ δὲ λαβὼν αὐτὸν ἔτρεφε σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς· καὶ ὠνόμασεν Ἀχιλλέα· πρότερον μὲν ἦν ὄνομα αὐτῷ Λιγύρων· ὅτι τὰ χείλη μαστοῖς οὐ προσήνεγκε.

7 Πηλεὺς δὲ μετὰ ταῦτα σὺν Ἰάσονι καὶ Διοσκούροις ἐπόρθησεν Ἰωλκόν· καὶ Ἀστυδάμειαν τὴν Ἀκάστου γυναῖκα φονεύει, καὶ διελὼν μέλη, διήγαγε δι' αὐτῆς τὸν στρατὸν εἰς τὴν πόλιν.

8 Ὡς δὲ ἐγένετο ἐνναετὴς Ἀχιλλεὺς, Κάλχαντος λέγοντος οὐ δύνασθαι χωρὶς αὐτοῦ Τροίαν αἱρεθῆναι, Θέτις προειδυῖα, ὅτι δεῖ στρατευόμενον αὐτὸν ἀπολέσθαι, κρύψασα ἐσθῆτι γυναικείᾳ, ὡς παρθένον παρέθετο. . . κἀκεῖ τρε-

φό-

III, 13, 7. Peleus Iolcum expugnat. 8. Achilles apud Lycomedem seruatus, tandem inde protractus ad Troiam oppugnandam proficiscitur.

φόμενος τῇ Λυκομήδους θυγατρὶ Δηϊδαμείᾳ μίγνυται· καὶ γίνεται παῖς Πύῤῥος αὐτοῦ ὁ κληθεὶς Νεοπτόλεμος αὖθις. Ὀδυσσεὺς δὲ μηνυθέντα παρὰ Λυκομήδους ζητῶν Ἀχιλλέα, σάλπιγγι χρησάμενος, εὗρε. καὶ τοῦτον τὸν τρόπον εἰς Τροίαν ἦλθε.

Συνείπετο δὲ αὐτῷ Φοῖνιξ ὁ Αμύντορος. οὗτος ὑπὸ τοῦ πατρὸς ἐτυφλώθη, καταψευσαμένης φθορὰν Φθίας τῆς τοῦ πατρὸς παλλακίδος. Πηλεὺς δὲ αὐτὸν πρὸς Χείρωνα κομίσας, ὑπ' ἐκείνου θεραπευθέντα τὰς ὄψεις, βασιλέα κατέστησε Δολόπων.

Συνείπετο δὲ καὶ Πάτροκλος ὁ Μενοιτίου καὶ Σθενέλης τῆς Ἀκάστου, ἢ Περιάπιδος τῆς Φέρητος, ἢ, καθάπερ φησὶ Φιλοκράτης, Πολυμήλης τῆς Πηλέως. οὗτος ἐν Ὀποῦντι διενεχθεὶς ἐν

III, 13, 8. Phoenix et Patroclus ei comites dati.

παιδιᾷ περὶ ἀστραγάλων παίζων παῖδα Κλυσώνυμον τὸν Ἀμφιδάμαντος ἀπέκτεινε. καὶ φυγὼν μετὰ τοῦ πατρὸς, παρὰ Πηλεῖ κατῴκει καὶ Ἀχιλλέως ἐρώμενος γίνεται.

* * *

Cap. XIV, Κέκροψ αὐτόχθων συμφυὲς
1 ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος· καὶ τὴν γῆν, πρότερον λεγομένην Ἀκτὴν, ἀφ' ἑαυτοῦ Κεκροπίαν ὠνόμασεν. Ἐπὶ τούτου φασὶν ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικὴν, καὶ πλήξας τῇ τριαίνῃ, κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν, ἣν νῦν Ἐρεχθηΐδα καλοῦσι. μετὰ δὲ τοῦτον ἧκεν Ἀθηνᾶ· καὶ ποιησαμένη τῆς καταλήψεως

III, 14. 1. Cecrops. Athenae ab Athene

ψεως Κέκροπα μάρτυρα, ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσίῳ δείκνυται. γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας, Ἀθηνᾶν καὶ Ποσειδῶνα διαλύσας Ζεὺς, κριτὰς ἔδωκεν· οὐχ, ὡς εἶπον τινὲς, Κέκροπα καὶ Κραναὸν, οὐδὲ Ἐρεχθέα· θεοὺς δὲ τοὺς δώδεκα. καὶ τούτων δικαζόντων ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος, ὅτι πρῶτον τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ' ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας. Ποσειδῶν δὲ, θυμῷ ὀργισθεὶς, τὸ Θριάσιον πεδίον ἐπέκλυσε καὶ τὴν Ἀττικὴν ἅλα ον ἐποίησε.

Κέκροψ δὲ γήμας τὴν Ἀκταίου πάρην Ἄγραυλον, παῖδα μὲν ἔσχεν Ἐρυσίχθονα, ὃς ἄτεκνος μετήλλαξε· θυγατέρας δὲ Ἄγραυλον, Ἔρσην, Πάνδροσον. Ἀγραύλου μὲν οὖν καὶ Ἄρεος

2

III, 14. 1. nomen accepere. 2. Cecropis progenies.

Ἀλκίππη γίνεται. ταύτην βιαζόμενος Ἀλιρρόθιος, ὁ Ποσειδῶνος καὶ νύμφης Εὐρύτης, ὑπὸ Ἄρεος φωραθεὶς κτείνεται. Ποσειδῶν δὲ ἐν Ἄρειῳ πάγῳ κρίνεται, δικαζόντων τῶν δώδεκα θεῶν Ἄρει καὶ ἀπολύεται.

3 Ἕρμης δὲ καὶ Ἕρμοῦ Κέφαλος, οὐ ἐρασθεῖσα Ἠὼς ἥρπασε· καὶ μιγεῖσα ἐν Συρίᾳ παῖδα ἐγέννησε Τιθωνόν· οὗ παῖς ἐγένετο Φαέθων. τούτου δὲ Ἀστύνοος· τοῦ δὲ, Σάνδακος· ὃς ἐκ Συρίας ἐλθὼν εἰς Κιλικίαν, πόλιν ἔκτισε Κελένδεριν, καὶ, γήμας Φαρνάκην τὴν Μεγασσάρου, Κινύραν τὸν Συρίων βασιλέα ἐγέννησε. Κινύρας οὗτος ἐν Κύπρῳ, παραγενόμενος σὺν λαῷ, ἔκτισε Πάφον. γήμας δὲ ἐκεῖ Μεθάρμην, κόρην Πυγμαλίωνος Κυπρίων βασιλέως,

Ὀξό-

III, 14, 2. Mars in Areopago iudicatur. 3. Cephalus ex Aurora Tithonum suscipit: a quo oriundus Cinyras.

Ὀξύπορον ἐγέννησε καὶ Ἀδώνιν· πρὸς δὲ τούτοις θυγατέρας Ὁρσεδίκην, Λαοgόρην καὶ Βραισίαν. αὕτη δὲ θεὰ μῆνιν Ἀφροδίτης ἀλλοτρίοις ἀνδράσι συνευναζόμεναι, τὸν βίον ἐν Αἰγύπτῳ μετήλλαξαν. Ἄδωνις δὲ ἔτι παῖς ὢν, 4
Ἀρτέμιδος χόλῳ πλήξας ἐν θήραις ὑπὸ συὸς ἀπέθανεν. Ἡσίοδος δὲ αὐτὸν Φοίνικος καὶ Ἀλφεσιβοίας λέγει. Πανύασις δέ φησι Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν. αὕτη κατὰ μῆνιν Ἀφροδίτης, οὐ γὰρ αὐτὴν ἐτίμα, ἴσχει τοῦ πατρὸς ἔρωτα· καὶ συνεργὸν λαβοῦσα τὴν τροφὸν, ἀγνοοῦντι τῷ πατρὶ νύκτας δώδεκα συνευνάσθη· ὁ δὲ ὡς ἤθετο, σπασάμενος ξίφος, ἐδίωκεν αὐτήν· ἡ δὲ, περικαταλαμβανομένη, θεοῖς ηὔξατο ἀφανὴς γενέσθαι. θεοὶ δὲ πατοικτείραντες αὐτὴν εἰς δένδρον

III. 14. 3. Eius stirps: in qua 4. Adonis et Myrrha.

τὴν θήραν τοῦ Καλυδωνίου κάπρου μετ' Εὐρυτίωνος ἐλθών, προέμενος ἐπὶ τὸν φῶν ἀκόντιον, Εὐρυτίωνος τυγχάνει, καὶ κτείνει τοῦτον ἄκων.

Πάλιν μὲν οὖν ἐκ Φθίας φυγὼν εἰς Ἰωλκὸν, πρὸς Ἄκαστον ἀφικνεῖται, καὶ
3 ὑπ' αὐτοῦ καθαίρεται. ἀγωνίζεται δὲ καὶ τὸν ἐπὶ Πελίᾳ ἀγῶνα, πρὸς Ἀταλάντην διαπαλαίσας. καὶ Ἀστυδάμεια, Ἀκάστου γυνὴ, Πηλέως ἐρασθεῖσα, περὶ συνουσίας προσέπεμψεν αὐτῷ λόγους. μὴ δυναμένη δὲ πεῖσαι, πρὸς τὴν γυναῖκα αὐτοῦ πέμψασα, ἔφη μέλλειν Πηλέα γαμεῖν Στερόπην τὴν Ἀκάστου θυγατέρα· καὶ τοῦτο ἐκείνη ἀκούσασα, ἀγχόνην ἀνάπτει· Πηλέως δὲ πρὸς Ἄκαστον κατεψεύσατο, λέγουσα, ὑπ' αὐτοῦ περὶ συνουσίας πεπειρᾶσθαι.

Ἀκα-

III, 13, 2. Iterum exulat apud Acaſtum. 3. Ab eius vxore fratris ſollicitatus, ſtupri falſo crimine accuſatus.

Ἄκαστος ἀκούσας, κτεῖναι μὲν ὃν ἐκάθηρεν οὐκ ἠβουλήθη· ἄγει δὲ αὐτὸν ἐπὶ θήραν εἰς τὸ Πήλιον. ἔνθεν ἀμίλλης περὶ θήρας γενομένης, Πηλεὺς μὲν οὖν, ὧν ἐχειροῦτο θηρίων, τὰς γλώσσας τούτων ἐκτέμνων εἰς τήραν ἐτίθει· οἱ δὲ μετὰ Ἀκάστου ταῦτα χειρούμενοι κατεγέλων ὡς μηδὲν τεθηρευκότος τοῦ Πηλέως. ὁ δὲ τὰς γλώσσας παρασχόμενος, ὅσας εἶχεν, ἐκείνοις, τοσαῦτα ἔφη τεθηρευκέναι. ἀποκοιμηθέντος αὐτοῦ ἐν τῷ Πηλίῳ, ἀπολιπὼν Ἄκαστος καὶ τὴν μάχαιραν ἐν τῇ τῶν βοῶν κόπρῳ κρύψας, ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ ζητῶν τὴν μάχαιραν, ὑπὸ τῶν Κενταύρων καταληφθεὶς ἔμελλεν ἀπόλλυσθαι. σώζεται δὲ ὑπὸ Χείρωνος.

οὗ-

III, 13, 3. a marito in venatione inermis relinquitur; a Chirone servatus.

τέραν ἔγημεν Ἑκάβην τὴν Δύμαντος, ἢ ὥς τινες φασι, Κισσέως· ἢ ὡς ἕτεροι λέγουσιν, Σαγγαρίου ποταμοῦ καὶ Μετώπης. γεννᾶται δὲ αὐτῇ πρῶτος μὲν Ἕκτωρ· δευτέρου δὲ γεννᾶσθαι μέλλοντος βρέφους, ἔδοξεν Ἑκάβη καθ' ὕπαρ δαλὸν τεκεῖν διάπυρον· τοῦτον δὲ πᾶσαν ἐπινέμεσθαι τὴν πόλιν καὶ καίειν. Μαθὼν δὲ Πρίαμος παρ' Ἑκάβης τὸν ὄνειρον, Αἴσακον τὸν υἱὸν μετεπέμψατο· ἦν γὰρ ὀνειροκρίτης παρὰ τοῦ μητροπάτορος Μέροπος διδαχθείς. οὗτος εἰπὼν, τῆς πατρίδος γενέσθαι τὸν παῖδα ἀπώλειαν, ἐκθεῖναι τὸ βρέφος ἐκέλευσε. Πρίαμος δὲ, ὡς ἐγεννήθη τὸ βρέφος, δίδωσιν ἐκθεῖναι οἰκέτῃ κομίσοντι εἰς Ἴδην. ὁ δὲ οἰκέτης Ἀγέλαος ὠνομάζετο·

III, 12, 5. ex iis Hector, maior natu; tum Paris seu Alexander; somnio Hecubae monitus Priamus puerum exponi iubet: is seruatus agnoscitur a parentibus.

ζετο· τὸ δὲ ἐκτεθὲν ὑπὸ τούτου βρέφος, πένθ' ἡμέρας ὑπὸ ἄρκτου ἐτράφη· ὁ δὲ σωζόμενον εὑρὼν, ἀναιρεῖται. καὶ κομίσας, ἐπὶ τῶν χωρίων ὡς ἴδιον παῖδα ἔτρεφεν, ὀνομάσας Πάριν. Γενόμενος δὲ νεανίσκος, καὶ πολλῶν διαφέρων κάλλει τε καὶ ῥώμῃ, αὖθις Ἀλέξανδρος προσωνομάσθη λῃστὰς ἀμυνόμενος, καὶ τοῖς ποιμνίοις ἀλεξήσας, ὅπερ ἐστὶ βοηθήσας. καὶ μετ' οὐ πολὺ τοὺς γονέας ἀνεῦρε.

Μετὰ τοῦτον ἐγέννησεν Ἑκάβη θυγατέρας μὲν Κρέουσαν, Λαοδίκην, Πολυξένην, Κασσάνδραν· ἣ συνελθεῖν βουλόμενος Ἀπόλλων, τὴν μαντικὴν ὑπέσχετο διδάξειν. ἡ δὲ μαθοῦσα οὐ συνῆλθεν. ὅθεν Ἀπόλλων ἀφείλετο τῆς μαντικῆς αὐτοῦ τὸ πείθειν. Αὖθις δὲ παῖδας ἐγέννησε Δηΐφοβον, Ἕλενον, Πάμμονα, Πολίτην, Ἄντιφον, Ἱππό-

III, 12, 5. Cassandra vates.

νοον, Πολύδωρον, Τρωΐλον. τοῦτον ἐξ Ἀπόλλωνος λέγεται γεγεννηκέναι.

Ἐκ δὲ ἄλλων γυναικῶν Πριάμῳ παῖδες γίνονται, Μελάνιππος, Γοργυθίων, Φιλαίμων, Ἱππόθοος, Γλαῦκος, Ἀγάθων, Χρεσιδάμας, Εὐαγόρας, Ἱπποδάμας, Μήστωρ, Ἄτας, Δόρυκλος, Λυκάων, Δρύων, Βίας, Χρόμιος, Ἀστύγονος, Τελέστας, Εὔανδρος, Κεβριόνης, Μήλιος, Ἀρχέμαχος, Λαοδόκος, Ἐχέφρων, Ἰδομενεὺς, Ὑπερίων, Ἀσκάνιος, Δημοκόων, Ἄλλητος, Δηϊόπτης, Κλόνιος, Ἐχέμων, Ὑπείροχος, Αἰγεωνεὺς, Λυτίθοος, Πολυμέδων. θυγατέρες δὲ, Μέδουσα, Μηδεσικάστη, Λυσιμάχη, Ἀριστοδήμη.

6 Ἕκτωρ μὲν οὖν Ἀνδρομάχην τὴν Ἠετίωνος γαμεῖ. Ἀλέξανδρος δὲ Οἰνώνην τὴν Κεβρῆνος τοῦ ποταμοῦ θυγα-

III, 12, 5. Reliqui Priami filii et filiae. 6. Hector Andromachen.

γατέρα. αὕτη παρὰ Ῥέας τὴν μαντικὴν μαθοῦσα, προὔλεγεν Ἀλεξάνδρῳ μὴ πλεῖν ἐπὶ Ἑλένην· μὴ πείθουσα δὲ, εἶπεν, ἐὰν τροιθῇ, παραγενέσθαι πρὸς αὐτήν· μόνην γὰρ θεραπεῦσαι δύνασθαι. τὸν δὲ Ἑλένην ἐκ Σπάρτης ἁρπάσαι πολεμουμένης δὲ Τροίας, τοξευθέντα ὑπὸ Φιλοκτήτου τόξοις Ἡρακλείοις, πρὸς Οἰνώνην ἐπανελθεῖν εἰς Ἴδην. ἡ δὲ μνησικακοῦσα, θεραπεῦσαι οὐκ ἔφη. Ἀλέξανδρος μὲν οὖν εἰς Τροίαν κομιζόμενος ἐτελεύτα· Οἰνώνη δὲ, μετακοήσασα, τὰ πρὸς θεραπείαν φάρμακα ἔφερε· καὶ καταλαβοῦσα αὐτὸν νεκρὸν ἑαυτὴν ἀνήρτησεν.

Ὁ δὲ Ἀσωπὸς ποταμὸς, Ὠκεανοῦ καὶ Τηθύος· ὡς δὲ Ἀκουσίλαος λέγει, Πηρεὺς καὶ Ποσειδῶνος· ὡς δέ τινες, Διὸς

καί

III. 12. 6. Pedi Oenonae coniugio habent. Sequitur noua stirps: Asopi f. Aegina.

καὶ Εὐρυνόμης. οὗτος Μετώπην γημάμενος Ἀλίωνος δὲ τοῦ ποταμοῦ θυγάτηρ αὕτη δύο μὲν παῖδας ἐγέννησεν, Ἰσμηνὸν καὶ Πελάγοντα, εἴκοσι δὲ θυγατέρας· ὧν μὲν μίαν Αἴγιναν ἥρπασε Ζεύς. ταύτην Ἀσωπὸς ζητῶν, ἧκεν εἰς Κόρινθον, καὶ μανθάνει παρὰ Σισύφου τὸν ἡρπακότα εἶναι Δία. Ζεὺς δὲ Ἀσωπὸν μὲν κεραυνώσας διώκοντα, πάλιν ἐπὶ τὰ οἰκεῖα ἀπέπεμψε ῥεῖθρα. διὰ τοῦτο, μέχρι καὶ νῦν, ἐκ τῶν τούτου ῥείθρων ἄνθρακες φέρονται.

Αἴγιναν δὲ εἰσκομίσας εἰς τὴν τότε Οἰκώνην λεγομένην νῆσον, νῦν δὲ Αἴγιναν ἀπ' ἐκείνης κληθεῖσαν, μίγνυται, καὶ τεκνοῖ παῖδα ἐξ αὐτῆς Αἰακόν. Τούτῳ Ζεὺς ὄντι μόνῳ ἐν τῇ νήσῳ τοὺς μυρμήκας ἀνθρώπους ἐπείησε. Γαμεῖ δὲ Αἰακὸς Ἐνδηΐδα, τὴν Χείρωνος,

---

III, 10, 6 e Jove rapta patit Aeacum. Ex hoc nati Peleus et Telamon.

νος, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο, Πηλεύς τε καὶ Τελαμών. Φερεκύδης δέ φησι Τελαμῶνα φίλον, οὐκ ἀδελφὸν Πηλέως εἶναι, ἀλλὰ Ἀκταίου παῖδα καὶ Γλαύκης τῆς Κυχρέως. Μίγνυται δὲ αὖθις Αἰακὸς Ψαμάθῃ τῇ Νηρέως εἰς πηγὴν ἠλλαγμένῃ διὰ τὸ μὴ βούλεσθαι συνελθεῖν, καὶ τεκνοῖ παῖδα Φῶκον.

Ἦν δὲ εὐσεβέστατος ἁπάντων Αἰακός. διὸ καὶ, τὴν Ἑλλάδα κατεχούσης ἀφορίας διὰ Πέλοπα, ὅτι Στυμφάλῳ τῷ βασιλεῖ τῶν Ἀρκάδων πολεμῶν, τὴν Ἀρκαδίαν ἐλεῖν μὴ δυνάμενος, προσποιησάμενος φιλίαν, ἔκτεινεν αὐτὸν καὶ διέσπειρε μελεΐσας, χρησμοὶ θεῶν ἔλεγον, ἀπαλλαγήσεσθαι τῶν ἐνεστώτων κακῶν τὴν Ἑλλάδα,

ἐὰν

III, 12. 6. tum Phocus. Aeaci pietas, deprecatio pro Hellade, honos apud inferos ei habitus,

ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς εὐχὰς ποιήσηται, ποιησαμένου δὲ εὐχὰς Αἰακοῦ, τῆς ἀναρπίας ἡ Ἑλλὰς ἀπαλλάττεται. τιμᾶται δὲ καὶ παρὰ Πλούτωνι τελευτήσας Αἰακὸς, καὶ τὰς κλεῖς τοῦ Ἅδου φυλάττει.

Διαφέροντος δὲ ἐν τοῖς ἀγῶσι Φώκου, τοὺς ἀδελφοὺς Πηλέα καὶ Τελαμῶνα ἐπιβουλεῦσαι· καὶ λαχὼν κλήρῳ Τελαμὼν συγγυμναζόμενον αὐτὸν, βαλὼν δίσκῳ κατὰ τῆς κεφαλῆς, κτείνει· καὶ κομίσας μετὰ Πηλέως κρύπτει κατά τινος ὕλης. Φωραθέντος δὲ τοῦ φόνου, φυγάδες ἀπὸ Αἰγίνης ὑπὸ Αἰακοῦ ἐλαύνονται.

Καὶ Τελαμὼν μὲν εἰς Σαλαμῖνα παραγίνεται πρὸς Κυχρέα τὸν Ποσειδῶνος καὶ Σαλαμῖνος τῆς Ἀσωποῦ, κτείνας δὲ ὄφιν οὗτος ἀδικοῦντα τὴν νῆσον, ἧς αὐ-

III, 12, 6. vt aditum Orci seruet. Phoci caedes, et fratrum exilium.

αὐτὸς ἐβασίλευε, καὶ τελευτῶν Ἄκαστον τὴν βασιλείαν παραδίδωσι Τελαμῶνι. ὁ δὲ γαμεῖ Περίβοιαν τὴν Ἀκάστου τοῦ Πέλοπος, καὶ ποιησαμένου εὐχὰς Ἡρακλέους, ἵνα αὐτῷ παῖς ἄρρην γένηται, Φανέντος δὲ μετὰ τὰς εὐχὰς αὐτοῦ, τὸν γεννηθέντα ἐκάλεσεν Αἴαντα. καὶ στρατευσάμενος ἐπὶ Τροίαν σὺν Ἡρακλεῖ, λαμβάνει γέρας Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, ἐξ ἧς αὐτῷ γίνεται Τεῦκρος.

Πηλεὺς δὲ εἰς Φθίαν φυγὼν Cap. XIII.
πρὸς Εὐρυτίωνα τὸν Ἄκτορος, ὑπ' αὐτοῦ καθαίρεται καὶ λαμβάνει παρ' αὐτοῦ τὴν θυγατέρα Ἀντιγόνην, καὶ τῆς χώρας τὴν τρίτην μοῖραν. καὶ γίνεται θυγάτηρ αὐτῷ Πολυδώρα, ἣν ἔγημε Βῶρος ὁ Περιήρους. ἐντεῦθεν δὲ ἐπὶ 2
τὴν

III, 12, 6. Telamon ex Peribοea ſuſcipit Aiacem. 13, 1. Peleus ab Eurytione luſtratus, Antigone ducta ſocerum imprudens occidit.

τὴν θήραν τοῦ Καλυδωνίου κάπρου μετ' Εὐρυτίωνος ἐλθών, προέμενος ἐπὶ τὸν φῦν ἀκόντιον, Εὐρυτίωνος τυγχάνει, καὶ κτείνει τοῦτον ἄκων.

Πάλιν μὲν οὖν ἐκ Φθίας φυγὼν εἰς Ἰωλκὸν, πρὸς Ἄκαστον ἀφικνεῖται, καὶ
3 ὑπ' αὐτοῦ καθαίρεται. ἀγωνίζεται δὲ καὶ τὸν ἐπὶ Πελίᾳ ἀγῶνα, πρὸς Ἀταλάντην διαπαλαίσας. καὶ Ἀστυδάμεια, Ἀκάστου γυνὴ, Πηλέως ἐρασθεῖσα, περὶ συνουσίας προσέπεμψεν αὐτῷ λόγους. μὴ δυναμένη δὲ πεῖσαι, πρὸς τὴν γυναῖκα αὐτοῦ πέμψασα, ἔφη μέλλειν Πηλέα γαμεῖν Στερόπην τὴν Ἀκάστου θυγατέρα· καὶ τοῦτο ἐκείνη ἀκούσασα, ἀγχόνην ἀνάπτει· Πηλέως δὲ πρὸς Ἄκαστον κατεψεύδεται, λέγουσα, ὑπ' αὐτοῦ περὶ συνουσίας πεπειρᾶσθαι. Ἀκα-

---

III, 13, 2. Iterum exulat apud Acastum. 3. Ab eius vxore frustra sollicitatus, stupri falso crimine accusatus,

Ἄκαστος ἀκούσας, κτεῖναι μὲν ὃν ἐκάθηρεν οὐκ ἠβουλήθη· ἄγει δὲ αὐτὸν ἐπὶ θήραν εἰς τὸ Πήλιον. ἔνθεν ἀμίλλης περὶ θήρας γενομένης, Πηλεὺς μὲν οὖν, ὧν ἐχειροῦτο θηρίων, τὰς γλώσσας τούτων ἐκτέμνων εἰς τήραν ἐτίθει· οἱ δὲ μετὰ Ἀκάστου ταῦτα χειρούμενοι κατεγέλων ὡς μηδὲν τεθηρευκότος τοῦ Πηλέως. ὁ δὲ τὰς γλώσσας παρασχόμενος, ὅσας εἶχεν, ἐκείνοις, τοσαῦτα ἔφη τεθηρευκέναι. ἀποκοιμηθέντος αὐτοῦ ἐν τῷ Πηλίῳ, ἀπολιπὼν Ἄκαστος, καὶ τὴν μάχαιραν ἐν τῇ τῶν βοῶν κόπρῳ κρύψας, ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ ζητῶν τὴν μάχαιραν, ὑπὸ τῶν Κενταύρων καταληφθεὶς ἔμελλεν ἀπόλλυσθαι. σώζεται δὲ ὑπὸ Χείρωνος.

οὗ-

III, 13, 3. a marito in venatione inermis relinquitur; a Chirone servatus.

αὐτὸς καὶ τὴν μάχαιραν αὐτοῦ ἐκζητήσας δίδωσι.

4 Γαμεῖ δὲ * ὁ Πηλεὺς Πολυδώραν * τὴν Περιήρους, ἐξ ἧς αὐτῷ γίνεται Μενέσθιος, ἐπίκλην ὁ Στερχειοῦ
5 τοῦ ποταμοῦ. Αὖθις δὲ Πηλεὺς γαμεῖ Θέτιν τὴν Νηρέως, περὶ ἧς τοῦ γάμου Ζεὺς καὶ Ποσειδῶν ἤρισαν. Θέμιδος δὲ θεσπιῳδούσης ἔσεσθαι τὸν ἐκ ταύτης γεννηθέντα κρείττονα τοῦ πατρὸς, ἀπέσχοντο. ἔνιοι δέ φασι, Διὸς ὀρμῶντος ἐπὶ τὴν ταύτης συνουσίαν, εἰρηκέναι Προμηθέα, τὸν ἐκ ταύτης αὐτῷ γεννηθέντα οὐρανοῦ δυναστεύσειν. τινὲς δὲ λέγουσι, μὴ βουληθῆναι Θέτιν Διὶ συνελθεῖν ὑπὸ Ἥρας τραφεῖσαν, Δία δὲ ὀργισθέντα, θνητῷ ἐθέλειν αὐτὴν συνοικῆσαι. Χείρωνος μὲν οὖν ὑποθεμένου Πηλεῖ, συλλαβεῖν καὶ κατέχειν αὐτὴν μεταμορφουμένην, ἐπιτηρήσας συ-

III, 13, 4. Menesthius ex Polydora et Boro natus. 5. Pelei et Thetidis nuptiae.

συναρπάζει. γινομένην δὲ ὁτὲ μὲν πῦρ, ὁτὲ δὲ ὕδωρ, ὁτὲ δὲ θηρίον, οὐ πρότερον ἀνῆκε πρὶν ἢ τὴν ἀρχαίαν μορφὴν εἶδεν ἀπολαβοῦσαν. γαμεῖ δὲ ἐν τῷ Πηλίῳ· κἀκεῖ θεοὶ τὸν γάμον εὐαγχούμενοι καθύμνησαν. καὶ δίδωσι Χείρων Πηλεῖ θόρυ μελίινον, Ποσειδῶν δὲ, ἵππους Βάλιον τε καὶ Ξάνθον· ἀθάνατοι δὲ ἦσαν οὗτοι.

Ὡς δὲ ἐγέννησε Θέτις ἐκ Πηλέως βρέφος, ἀθάνατον θέλουσα ποιῆσαι σοῦτο, κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρυβοῦσα τῆς νυκτὸς, ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον· μεθ' ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας, καὶ ἀσπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς, ἐβόησε· καὶ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον τὸν παῖδα ἀπολικοῦσα, πρὸς Νηρείδας ᾤχετο. νομίζει δὲ τὸν παῖδα πρὸς Χείρωνα Πη- 6

III, 13, 6. Achillis educatio.

λεύς. ὁ δὲ λαβὼν αὐτὸν ἔτρεφε σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς· καὶ ὠνόμασεν Ἀχιλλέα· πρότερον μὲν ἦν ὄνομα αὐτῷ Λιγύρων· ὅτι τὰ χείλη μαστοῖς οὐ προσήνεγκε.

7 Πηλεὺς δὲ μετὰ ταῦτα σὺν Ἰάσονι καὶ Διοσκούροις ἐπόρθησεν Ἰωλκόν· καὶ Ἀστυδάμειαν τὴν Ἀκάστου γυναῖκα φονεύει, καὶ διελὼν μέλη, διήγαγε δι' αὐτῆς τὸν στρατὸν εἰς τὴν πόλιν.

8 Ὡς δὲ ἐγένετο ἐνναετὴς Ἀχιλλεὺς, Κάλχαντος λέγοντος οὐ δύνασθαι χωρὶς αὐτοῦ Τροίαν αἱρεθῆναι, Θέτις προειδυῖα, ὅτι δεῖ στρατευόμενον αὐτὸν ἀπολέσθαι, κρύψασα ἐσθῆτι γυναικείᾳ, ὡς παρθένον παρέθετο. . . κἀκεῖ τρε-

φό-

III, 13, 7. Peleus Iolcum expugnat. 8. Achilles apud Lycomedem seruatus, tandem inde protractus ad Troiam oppugnandam proficiscitur.

φόμενος τῇ Λυκομήδους θυγατρὶ Δηϊδαμείᾳ μίγνυται· καὶ γίνεται παῖς Πύῤῥος αὐτοῦ ὁ κληθεὶς Νεοπτόλεμος αὖθις. Ὀδυσσεὺς δὲ μηνυθέντα παρὰ Λυκομήδους ζητῶν Ἀχιλλέα, σάλπιγγι χρησάμενος, εὗρε. καὶ τοῦτον τὸν τρόπον εἰς Τροίαν ἦλθε.

Συνείπετο δὲ αὐτῷ Φοῖνιξ ὁ Αμύντορος. οὗτος ὑπὸ τοῦ πατρὸς ἐτυφλώθη, καταψευσαμένης φθορὰν Φθίας τῆς τοῦ πατρὸς παλλακίδος. Πηλεὺς δὲ αὐτὸν πρὸς Χείρωνα κομίσας, ὑπ' ἐκείνου θεραπευθέντα τὰς ὄψεις, βασιλέα κατέστησε Δολόπων.

Συνείπετο δὲ καὶ Πάτροκλος ὁ Μενοιτίου καὶ Σθενέλης τῆς Ἀκάστου, ἢ Περιάπιδος τῆς Φέρητος, ἢ, καθάπερ φησὶ Φιλοκράτης, Πολυμήλης τῆς Πηλέως. οὗτος ἐν Ὀποῦντι διενεχθεὶς ἐν

III, 13, 8. Phoenix et Patroclus ei comites dati.

παιδιᾷ περὶ ἀστραγάλων παίζων παῖδα Κλυσώνυμον τὸν Ἀμφιδάμαντος ἀπέκτεινε. καὶ φυγὼν μετὰ τοῦ πατρὸς, παρὰ Πηλεῖ κατῴκει καὶ Ἀχιλλέως ἐρώμενος γίνεται.

* * *

Cap. XIV. Κέκροψ αὐτόχθων συμφυὲς
1 ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος· καὶ τὴν γῆν, πρότερον λεγομένην Ἀκτὴν, ἀφ' ἑαυτοῦ Κεκροπίαν ὠνόμασεν. Ἐπὶ τούτου φασὶν ἔδοξε θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστοι. ἦλθεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικὴν, καὶ πλήξας τῇ τριαίνῃ, κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν, ἣν νῦν Ἐρεχθηίδα καλοῦσι. μετὰ δὲ τοῦτον ἦλθεν Ἀθηνᾶ· καὶ ποιησαμένη τῆς καταλή-

ψεως

III, 14. 1. Cecrops. Athenae ab Athene.

ψεως Κέκροπα μάρτυρα, ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσίῳ δείκνυται. γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας, Ἀθηνᾶν καὶ Ποσειδῶνα διαλύσας Ζεὺς, κριτὰς ἔδωκεν· οὐχ, ὡς εἶπον τινὲς, Κέκροπα καὶ Κραναὸν, οὐδὲ Ἐρεχθέα· θεοὺς δὲ τοὺς δώδεκα, καὶ τούτων δικαζόντων ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος, ὅτι πρῶτον τὴν ἐλαίαν ἐφύτευσαν. Ἀθηνᾶ μὲν οὖν ἀφ' ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας. Ποσειδῶν δὲ, θυμῷ ὀργισθεὶς, τὸ Θριάσιον πεδίον ἐπέκλυσε καὶ τὴν Ἀττικὴν ἅλα ἐποίησε.

Κέκροψ δὲ γήμας τὴν Ἀκταίου πόρην Ἄγραυλον, παῖδα μὲν ἔσχεν Ἐρυσίχθονα, ὃς ἄτεκνος μετήλλαξε· θυγατέρας δὲ Ἄγραυλον, Ἔρσην, Πάνδροσον. Ἀγραύλου μὲν οὖν καὶ Ἄρεως

III, 14. 1. nomen accepere. 2. Cecropis progenies.

Ἀλκίππη γίνεται. ταύτην βιαζόμενος Ἀλιρρόθιος, ὁ Ποσειδῶνος καὶ νύμφης Εὐρύτης, ὑπὸ Ἄρεος φωραθεὶς κτείνεται. Ποσειδῶν δὲ ἐν Ἀρείῳ πάγῳ κρίνεται, δικαζόντων τῶν δώδεκα θεῶν Ἄρει· καὶ ἀπολύεται.

3 Ἕρσης δὲ καὶ Ἑρμοῦ Κέφαλος, οὗ ἐρασθεῖσα Ἠὼς ἥρπασε· καὶ μιγεῖσα ἐν Συρίᾳ παῖδα ἐγέννησε Τιθωνόν· οὗ παῖς ἐγένετο Φαέθων. τούτου δὲ Ἀστύνοος· τοῦ δὲ, Σάνδακος· ὃς ἐκ Συρίας ἐλθὼν εἰς Κιλικίαν, πόλιν ἔκτισε Κελένδεριν, καὶ, γήμας Φαρνάκην τὴν Μεγεσσάρου, Κινύραν τὸν Συρίων βασιλέα ἐγέννησε. Κινύρας οὗτος ἐν Κύπρῳ, παραγενόμενος σὺν λαῷ, ἔκτισε Πάφον. γήμας δὲ ἐκεῖ Μεθάρμην, κόρην Πυγμαλίωνος Κυπρίων βασιλέως,

Ὀξύ-

III, 14, 2. Mars in Areopago iudicatur. 3. Cephalus ex Aurora Tithonum suscipit: a quo oriundus Cinyras.

Ὀξύπορον ἐγέννησε καὶ Ἀδωνιν· πρὸς δὲ τούτοις θυγατέρας Ὁρσεδίκην, Λαογόρην καὶ Βραισίαν. αὗται δὲ διὰ μῆνιν Ἀφροδίτης ἑλλογρίοις ἀνδράσι συνευναζόμεναι, τὸν βίον ἐν Αἰγύπτῳ μετήλλαξαν. Ἄδωνις δὲ ἔτι παῖς ὢν, 4
Ἀρτέμιδος χόλῳ πληγεὶς ἐν θήραις ὑπὸ συὸς ἀπέθανεν. Ἡσίοδος δὲ αὐτὸν Φοίνικος καὶ Ἀλφεσιβοίας λέγει. Πανύασις δέ φησι Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν, αὕτη κατὰ μῆνιν Ἀφροδίτης, οὐ γὰρ αὐτὴν ἔτιμα, ἴσχει τοῦ πατρὸς ἔρωτα· καὶ συνεργὸν λαβοῦσα τὴν τροφὸν, ἀγνοοῦντι τῷ πατρὶ νύκτας δώδεκα συνευνάσθη. ὁ δὲ ὡς ἤσθετο, σπασάμενος ξίφος, ἐδίωκεν αὐτήν· ἡ δὲ, περικαταλαμβανομένη, θεοῖς ηὔξατο ἄφανὴς γενέσθαι. θεοὶ δὲ πατοικτείραντες αὐτὴν εἰς δέν-

III. 14. 3. Eius stirps: in qua 4. Adonis et Myrrha.

ἄρου μετήλλαξαν, ὃ καλοῦσι σμύρναν. δεκαμηνιαίῳ δὲ ὕστερον χρόνῳ, τοῦ δένδρου ῥαγέντος, γεννηθῆναι τὸν λεγόμενον Ἄδωνιν· ὃν Ἀφροδίτη διὰ κάλλος ἔτι νήπιον, κρύφα θεῶν, εἰς λάρνακα κρύψασα, Περσεφόνῃ παρίστατο. ἐκείνη δὲ, ὡς ἐθεάσατο, οὐκ ἀπεδίδου. κρίσεως δὲ ἐπὶ Διὸς γενομένης, εἰς μοίρας διῃρέθη ὁ ἐνιαυτός· καὶ μίαν μὲν παρ' ἑαυτῷ μένειν τὸν Ἄδωνιν, μίαν δὲ παρὰ Περσεφόνῃ προσέταξε, τὴν δὲ ἑτέραν παρὰ Ἀφροδίτῃ. ὁ δὲ Ἄδωνις ταύτῃ προσένειμε καὶ τὴν ἰδίαν μοῖραν. ὕστερον δὲ θηρεύων Ἄδωνις ὑπὸ συὸς πληγεὶς ἀπέθανε.

5 Κέκροπος δὲ ἀποθανόντος, Κραναὸς αὐτόχθων ὢν, ἐφ' οὗ τὸν ἐπὶ Δευκαλίωνος λέγεται κατακλυσμὸν γενέσθαι, [οὗτος] γήμας ἐκ Λακεδαίμονος Πεδιάδα τὴν Μήνυτος, ἐγέννησε Κρανακὴν, καὶ

III, 14, 5. In Attica Cecropi succedit Cranaus;

καὶ Κραναίχμην, καὶ Ἀτθίδα· ἧς ἀποθανούσης ἔτι παρθένου, τὴν χώραν Κραναὸς Ἀτθίδα προσηγόρευσε.

Κρανάου δὲ ἐκβαλὼν Ἀμφικτύων ἐβασίλευσε. τοῦτον ἔνιοι μὲν Δευκαλίωνος, ἄλλοι δὲ αὐτόχθονα λέγουσι. 6

Βασιλεύσαντα δὲ αὐτὸν ἔτη δώδεκα Ἐριχθόνιος ἐκβάλλει. τοῦτον οἱ μὲν Ἡφαίστου καὶ τῆς Κραναοῦ θυγατρὸς Ἀτθίδος εἶναι λέγουσιν· οἱ δὲ, Ἡφαίστου καὶ Ἀθηνᾶς, οὕτως· Ἀθηνᾶ παρεγένετο πρὸς Ἥφαιστον, ὅπλα κατασκευάσαι θέλουσα. ὁ δὲ, ἐγκαταλελειμμένος ὑπὸ Ἀφροδίτης, εἰς ἐπιθυμίαν ὧλισθε τῆς Ἀθηνᾶς, καὶ διώκειν αὐτὴν ἤρξατο· ἡ δὲ ἔφευγεν. ὡς δὲ ἐγγὺς αὐτῆς ἐγένετο, πολλῇ ἀνάγκῃ, ἦν γὰρ χωλὸς, ἐπειρᾶτο συνελθεῖν. ἡ δὲ, ὡς σώφρων καὶ παρθένος οὖσα, οὐκ ἠνέσχετο.

III, 14, 6. eique Amphictyon; huic Erichthonius.

σχετο. ὁ δὲ ἀπεσπέρμηνεν εἰς τὸ σπέλος τῆς θεᾶς. ἐκείνη δὲ μυσαχθεῖσα, ἐρίῳ ἀπομάξασα τὸν γόνον εἰς γῆν ἔῤῥιψε. Φευγούσης δὲ κἀτῆς, καὶ τῆς
δ γονῆς εἰς γῆν πεσούσης, Ἐριχθόνιος γίνεται. τοῦτον Ἀθηνᾶ κρύφα τῶν ἄλλων θεῶν ἔτρεφεν, ἀθάνατον θέλουσα ποιῆσαι· καὶ καταθεῖσα αὐτὸν εἰς κίστην, Πανδρόσῳ τῇ Κέκροπος παρακατέθετο, ὑπειποῦσα. τὴν κίστην ἀνοίγειν. αἱ δὲ ἀδελφαὶ τῆς Πανδρόσου ἀνοίγουσιν ὑπὸ περιεργίας, καὶ θεῶνται τῷ βρέφει παρεσπειραμένον δράκοντα· καί, ὡς μὲν ἔνιοι λέγουσιν, ὑπ' αὐτοῦ διαφθαρήσεσθαι τοὺς δράκοντας. ὡς δὲ ἔνιοι, δι' ὀργὴν Ἀθηνᾶς ἐμμανεῖς γενέσθαι, κατὰ τῆς ἀκροπόλεως αὐτὰς ἑῤῥῖψαι. Ἐν δὲ τῷ τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ' αὐτῆς Ἀθηνᾶς, ἐκβαλὼν Ἀμφικτύονα, ἐβασίλευσεν Ἀθηνῶν· καὶ τὰ

ἔθ

III, 14, 6. Eius natales et facta.

ἐν ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο, καὶ τῶν Παναθηναίων τὴν ἑορτὴν συνεστήσατο· καὶ Πασιθέαν Νηΐδα γυναῖκα ἔγημεν, ἐξ ἧς παῖς Πανδίων ἐγεννήθη.

Ἐριχθονίου δὲ ἀποθανόντος καὶ ταφέντος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς, Πανδίων ἐβασίλευσεν· ἐφ' οὗ Δημήτηρ καὶ Διόνυσος εἰς τὴν Ἀττικὴν ἦλθον. ἀλλὰ Δήμητρα μὲν Κελεὸς εἰς τὴν Ἐλευσῖνα ὑπεδέξατο· Διόνυσον δὲ Ἰκάριος, καὶ λαμβάνει παρ' αὐτοῦ κλῆμα ἀμπέλου. καὶ τὰ περὶ τὴν οἰνοποιΐαν μυσθάνων, καὶ τὰς τοῦ θεοῦ δωρήσασθαι θέλων χάριτας ἀνθρώποις, ἀφικνεῖται πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ, καὶ χωρὶς ὕδατος δι' ἡδονὴν ἀφειδῶς ἐλκύσαντες, πεφαρμάχθαι νο-

7

μι-

III, 14, 7. Succedit Pandion I. Sub quo Ceres et Bacchus in Atticam veniunt. Icarius cum filia Erigone et cane Maera.

μίζοντες, ἀπέκτειναν αὐτόν. μεθ' ἡμέραν δὲ νοήσαντες, ἔθαψαν αὐτόν. Ἠριγόνη δὲ τῇ θυγατρὶ, τὸν πατέρα μαστευούσῃ, πόων συνήθης ἅμα Μαῖρα, ἢ τῷ Ἰκαρίῳ συνείπετο, τὸν νεκρὸν ἐμήνυσε· κἀκείνη κατοδυρομένη τὸν πατέρα, ἑαυτὴν ἀνήρτησε.

6 Πανδίων δὲ γήμας Ζευξίππην τῆς μητρὸς τὴν ἀδελφὴν, θυγατέρας μὲν ἐτέκνωσε Πρόκνην καὶ Φιλομήλαν· παῖδας δὲ διδύμους Ἐρεχθέα καὶ Βούτην. πολέμου δὲ ἐξαναστάντος πρὸς Λάβδακον περὶ γῆς ὅρων, ἐπεκαλέσατο βοηθὸν ἐκ Θρᾴκης Τηρέα τὸν Ἄρεος· καὶ τὸν πόλεμον συνκατορθώσας, ἔδωκε Τηρεῖ πρὸς γάμου τὴν ἑαυτοῦ θυγατέρα Πρόκνην. ὁ δὲ, ἐκ ταύτης γεννήσας παῖδα Ἴτυν, καὶ Φιλομήλας ἐρασθείς, ἔφθειρε καὶ ταύτην, εἰπὼν τεθνάναι Πρόκνην, κρύπτων ἐπὶ τῶν χω-

III, 14. 8. Pandionis liberi:

χωρίων. αὖθις δὲ γήμας Φιλομήλαν, συνηυνάζετο, καὶ τὴν γλῶσσαν ἐξέτεμεν αὐτῆς. ἡ δὲ ὑφήνασα ἐν πέπλῳ γράμματα [καὶ] διὰ τούτων ἐμήνυσε Πρόκνῃ τὰς ἰδίας συμφοράς. ἡ δὲ, ἀναζητήσασα τὴν ἀδελφὴν, κτείνει τὸν παῖδα Ἴτυν, καὶ καθεψήσασα, Τηρεῖ δεῖπνον ἀγνοοῦντι προτίθησι· καὶ μετὰ τῆς ἀδελφῆς διαταχέως ἔφυγε. Τηρεὺς δὲ αἰσθόμενος, ἁρπάσας πέλεκυν, ἐδίωκεν. αἱ δὲ, ἐν Δαυλίᾳ τῆς Φωκίδος γινόμεναι περικατάληπτοι, θεοῖς εὔχονται ἀπορνεωθῆναι. καὶ Πρόκνη μὲν γίνεται ἀηδών· Φιλομήλα δὲ χελιδών. ἀπορνεοῦται δὲ καὶ Τηρεὺς, καὶ γίνεται ἔποψ.

Πανδίονος δὲ ἀποθανόντος, οἱ παῖδες τὰ πατρῷα διεμερίσαντο. καὶ τὴν Cap. XV, 1

III, 14, 8. in his Procne et Philomela Tereum vitae. 15, 1. Erechtheus patri in regno

τὴν βασιλείαν Ἐρεχθεὺς λαμβάνει. τὴν δὲ ἱερωσύνην τῆς Ἀθηνᾶς καὶ τοῦ Ποσειδῶνος τοῦ Ἐριχθονίου Βούτης. γήμας δὲ Ἐρεχθεὺς Πραξιθέαν τὴν Φρασίμου καὶ Διογενείας τῆς Κηφισοῦ, ἔσχε παῖδας Κέκροπα, Πάνδωρον, Μητίονα θυγατέρας δὲ, Πρόκριν, Κρέουσαν, Χθονίαν, Ὠρείθυιαν, ἣν ἥρπασε Βορέας.

Χθονίαν μὲν οὖν ἔγημε Βούτης· Κρέουσαν δὲ Ξοῦθος. Πρόκριν δὲ Κέφαλος ὁ Δηϊόνος. ἡ δὲ, λαβοῦσα χρυσοῦν στέφανον, Πτελέοντι συνευνάζεται· καὶ φωραθεῖσα ὑπὸ Κεφάλου, πρὸς Μίνωα φεύγει. ὁ δὲ αὐτῆς ἐρᾷ, καὶ πείθει συνελθεῖν. εἰ δέ γε συνέλθοι γυνὴ Μίνωι, ἀδύνατον ἦν αὐτὴν σωθῆναι.

III, 15, 1. Butes in sacerdotio Athenes et Neptuni Erechthei succedit. Erechthei et Praxitheae liberi. Filiae Chthonia, Procris, Cephalo nupta, ad Minoem fuga facta.

ναι· Πασιφάη γὰρ, ἐπειδὴ πολλαὶς Μίνως συνηυνάζετο γυναιξὶν, ἐφαρμάκευσεν αὐτόν. καὶ, ἐπότε ἄλλῃ συνηυνάζετο, εἰς τὰ ἄρθρα ἐφίει θηρία, καὶ οὕτως ἀπώλλυντο. ἔχοντος οὖν αὐτοῦ κύνα ταχὺν, ἀκόντιόν τε ἰσχυρὸν, ἐπὶ τούτοις Πρόκρις, θυγάτηρ τὴν Κεφαλὸν πείθει ῥίζαν, πρὸς τὸ μηδὲν βλάψαι, συνευνάζεσθαι. θαύσασα δὲ αὖθις τὴν Μίνωος γυναῖκα, ἦλθεν εἰς Ἀθήνας· καὶ διαλλαγεῖσα Κεφάλῳ, μετὰ τοῦτον παραγίνεται ἐπὶ θήρην· ἦν γὰρ θηρευτικὴ, διώκουσαν [γὰρ]. αὐτὴν ἐν τῇ λόχμῃ ἀγνοήσας Κέφαλος ἀκοντίζει, καὶ τυχὼν ἀποκτείνει Πρόκριν. καὶ κρίθεὶς ἐν Ἀρείῳ πάγῳ φυγὴν ἄϊδιον κατεδικάσθη.

Ὡρεί-

III. 15. 1. in Atticam reuerſa, a marito imprudente interimitur.

2 Ὠρείθυιαν δὲ περάσαν ἐπὶ Ἰλισσοῦ ποταμοῦ ἁρπάσας Βορέας συνῆλθεν· ἡ δὲ γυναῖξ θυγατέρας μὲν Κλεοπάτραν καὶ Χιόνην υἱοὺς δὲ Ζήτην καὶ Κάλαϊν ἐτέκετο. οἱ, πλέοντες σὺν Ἰάσονι, καὶ τὰς Ἁρπυίας διώκοντες, ἀπέθανον. ὡς δὲ Ἀκουσίλαος λέγει, περὶ Τῆνον ὑφ'
3 Ἡρακλέους ἀπώλοντο. Κλεοπάτραν δὲ ἔγημε Φινεύς· ᾧ γίνονται παῖδες ἐξ αὐτῆς Πλήξιππος καὶ Πανδίων· ἔχων δὲ τούτους ἐκ Κλεοπάτρας παῖδας, Ἰδαίαν ἐγάμει τὴν Δαρδάνου. κἀκείνη τῶν προγόνων πρὸς Φινέα βοὰν κατεψεύδεται· καὶ πιστεύσας Φινεύς, ἀμφοτέρους τυφλεῖ. παρακαλέσαντες δὲ οἱ Ἀργοναῦται σὺν Βορέᾳ κολάζουσιν αὐτόν.
4 Χιόνη δὲ Ποσειδῶνι μίγνυται. ἡ δὲ περὶ-

III, 15, 2. Orithyia a Borea rapta: eius liberi Zetes et Calais; 3. Cleopatra Phineo nupta, et a pellice Idaea cum filiis male habita; 4. Chione a Neptuno compressa. Eumolpum parit.

κρύψαι τοῦ πατρὸς Εὔμολπον τεκοῦσα, ἵνα μὴ γένηται καταφανὲς, εἰς τὸν βυθὸν ῥίπτει τὸ παιδίον. Ποσειδῶν δὲ ἀνελόμενος, εἰς Αἰθιοπίαν κομίζει· καὶ δίδωσι Βενθεσικύμῃ τρέφειν αὐτοῦ θυγατρὶ καὶ Ἀμφιτρίτης. ὡς δὲ ἐτελειώθη ἔνδον ἐν Βενθεσικύμης, ὁ αὐτὴν τὴν ἑτέραν αὐτοῦ τῶν θυγατέρων δίδωσιν. ὁ δὲ καὶ τὴν ἀδελφὴν τῆς γαμηθείσης ἐπεχείρησε βιάζεσθαι· καὶ διὰ τοῦτο φυγοδευθεὶς, μετὰ Ἰσμάρου τοῦ παιδὸς πρὸς Τεγύριον ἦκε, Θρᾳκῶν βασιλέα· ὃς αὐτοῦ τῷ παιδὶ τὴν θυγατέρα συνῴκισεν. ἐπιβουλεύων δὲ ὕστερον Τεγυρίῳ καταφανὴς γίνεται, καὶ πρὸς Ἐλευσινίους φεύγει, καὶ φιλίαν ποιεῖται πρὸς αὐτούς. αὖθις δὲ Ἰσμάρου τελευτήσαντος, μεταπεμφθεὶς ὑπὸ Τεγυρίου παραγίνεται, καὶ τὴν προτοῦ μάχην διαλυσάμενος, τὴν βασιλείαν παρέλαβε.

III, 15, 4. Eius educatio et fata. Filius Imarus.

καὶ πολέμου ἐνστάντος πρὸς Ἀθηναίους τοὺς Ἐλευσινίοις, ἐπικληθεὶς ὑπὸ Ἐλευσινίων, μετὰ πολλῆς συνεμάχει Θρᾳκῶν δυνάμεως. Ἐρεχθεῖ δὲ ὑπὲρ Ἀθηναίων νίκης χρωμένῳ, ἔχρησεν ὁ Θεὸς κατορθώσειν τὸν πόλεμον, ἐὰν μίαν τῶν θυγατέρων σφάξῃ. καὶ σφάξαντος αὐτοῦ τὴν νεωτάτην, καὶ αἱ λοιπαὶ ἑαυτὰς κατέσφαξαν· ἐπεπείηντο γὰρ, ὡς ἔφασάν τινες, συνωμοσίαν ἀλλήλαις συναπολέσθαι. Γενομένης δὲ μετὰ θάνατον τῆς μάχης, Ἐρεχθεὺς μὲν ἀνεῖλεν Εὔμολπον.

5 Ποσειδῶνος δὲ καὶ τὸν Ἐρεχθέα καὶ τὴν οἰκίαν αὐτοῦ καταλύσαντος, Κέκροψ ὁ πρεσβύτατος τῶν Ἐρεχθέως παίδων ἐβα-

---

III, 15, 4. Tegyrio in regno Thracum succedit Eumolpus, Eleusiniis aduersus Athenas auxilium fert, ab Erechtheo occiditur. Erechthei filia pro patria se mactat. 5. Erechtheo succedit Cecrops II.

ἐβασίλευσεν. ὃς, γήμας Μητιάδουσαν τὴν Εὐπαλάμου παῖδα, ἐτέκνωσε Πανδίονα.

Οὗτος μετὰ Κέκροπα βασιλεύων, ὑπὸ τῶν Μητίωνος υἱῶν κατὰ στάσιν ἐξεβλήθη. καὶ παραγενόμενος εἰς Μέγαρα πρὸς Πύλαν, τὴν ἐκείνου θυγατέρα Πελίαν γαμεῖ. αὖθις καὶ τῆς πόλεως βασιλεὺς ὑπ' αὐτῆς καθίσταται. κτείνας γὰρ Πύλας τὸν τοῦ πατρὸς ἀδελφὸν Βίαντα, τὴν βασιλείαν δίδωσι Πανδίονι, αὐτὸς δὲ εἰς Πελοπόννησον σὺν λαῷ παραγενόμενος, κτίζει πόλιν Πύλον.

Πανδίονι δὲ ἐν Μεγάροις ὄντι παῖδες ἐγένοντο, Αἰγεὺς, Πάλλας, Νῖσος, Λύκος. ἔνιοι δὲ Αἰγέα Σκυρίου εἶναι λέγουσιν· ὑποβληθῆναι δὲ ὑπὸ Πανδίονος.

III. 15. 5. huic Pandion II. is vrbe eiectus Megaris regnat.

6 δίονος. μετὰ δὲ τὴν Πανδίονος τελευτὴν, οἱ παῖδες αὐτοῦ στρατεύσαντες ἐπ' Ἀθήνας, ἐξέβαλον τοὺς Μητιονίδας, καὶ τὴν ἀρχὴν τετραχῇ διεῖλον· εἶχε δὲ τὸ πᾶν κράτος Αἰγεύς. γαμεῖ δὲ πρῶτον μὲν Μήταν τὴν Ὀπλῆτος· δευτέραν δὲ Χαλκιόπην τὴν Ῥηξήνορος. ὡς δὲ οὐκ ἐγένετο παῖς αὐτῷ, δεδοικὼς τοὺς ἀδελφοὺς, εἰς Πυθίαν ἦλθε, καὶ περὶ παίδων γονῆς ἐμαντεύετο. ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ·

Ἀσκοῦ τὸν προὔχοντα ποδάονα, φέρτατε λαῶν,
Μὴ λύσῃς, πρὶν ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι.

7 Ἀπορῶν δὲ τὸν χρησμὸν, ἀνῄει πάλιν εἰς Ἀθήνας. καὶ Τροιζῆνα διοδεύων, ἐπι-

III, 15, 6. At filii, Metionidis expulsis, Athenas recuperant: rerum summa Aegeo mandata. 7. Aegeus, sorte Delphis accepta, Troezenem deuertens,

ἐπιξενοῦται Πιτθεῖ τῷ Πέλοπος· ὃς τὸν χρησμὸν συνεὶς, μεθύσας αὐτὸν τῇ θυγατρὶ συγκατέκλινεν Αἴθρᾳ. τῇ δὲ αὐτῇ νυκτὶ καὶ Ποσειδῶν ἐπλησίασεν αὐτῇ. Αἰγεὺς δὲ ἐντειλάμενος Αἴθρᾳ, ἐὰν ἄῤῥενα γεννήσῃ, τρέφειν καὶ, τίνος ἔσται, μὴ λέγειν; ἀπέλιπε [δὲ] ὑπό τινι πέτρᾳ μάχαιραν καὶ πέδιλα, εἰπὼν, ὅταν ὁ παῖς δύνηται τὴν πέτραν ἀπο- 8
κυλίσας ἀνελέσθαι ταῦτα, τότε μετ' αὐτῶν αὐτὸν ἀποπέμπειν.

Αὐτὸς δὲ ἧκεν εἰς Ἀθήνας, καὶ τὸν τῶν Παναθηναίων ἀγῶνα ἐπετέλει, ἐν ᾧ ὁ Μίνωος παῖς Ἀνδρόγεως ἐνίκησε πάντας. Τοῦτον Αἰγεὺς ἐπὶ τὸν Μαραθώνιον ἔπεμψε ταῦρον, ὑφ' οὗ διεφθάρη. ἔνιοι δὲ αὐτὸν λέγουσι πορευόμενον εἰς Θήβας ἐπὶ τὸν Λαΐου ἀγῶνα

III, 15, 7. ex Aethra Theseum generat. Androgeo Minois f. interemto, Minos Atticam classe infestat;

πρὸς τῶν ἀγωνιστῶν ἐνεδρευθέντα διὰ φθόνον ἀπόλεσθαι.

Μίνως δὲ, ἐπελθόντος αὐτοῦ θανάτου, θύων ἐν Πάρῳ ταῖς Χάρισι, τὸν μὲν στέφανον ἀπὸ τῆς κεφαλῆς ἔρριψε, καὶ τὸν αὐλὸν κατέσχε, καὶ τὴν θυσίαν οὐδὲν ἧττον ἐπετέλεσεν. ὅθεν ἔτι καὶ δεῦρο χωρὶς αὐλῶν καὶ στεφάνων ἐν
8 Πάρῳ θύουσι ταῖς Χάρισι. μετ' οὐ πολὺ δὲ, θαλασσοκρατῶν, ἐπολέμησε στόλῳ τὰς Ἀθήνας, καὶ Μέγαρα εἷλε, Νίσου βασιλεύοντος τοῦ Πανδίονος καὶ Μεγαρέα τὸν Ἱππομένους ἐξ Ὀγχηστοῦ Νίσῳ βοηθὸν ἐλθόντα ἀπέκτεινεν. ἀπέθανε δὲ καὶ Νῖσος διὰ θυγατρὸς προδοσίαν. ἔχοντι γὰρ αὐτῷ πορφυρέαν ἐν μέσῃ τῇ κεφαλῇ τρίχα, ταύτης ἀφαιρεθείσης τελευτᾷ. ἡ δὲ θυγάτηρ αὐτοῦ Σκύλλα, ἐρασθεῖσα Μίνωος,

III, 15, 8. Megaris captis Scyllae impietatem in patrem vlciscitur;

νωος, ἐξεῖλε τὴν τρίχα. Μίνως δὲ Μεγάρων κρατήσας, καὶ τὴν κόρην τῆς πρύμνης τῶν ποδῶν ἐκδήσας, ὑπεβρύχιον ἐποίησε.

Χρονιζομένου δὲ τοῦ πολέμου, μὴ δυνάμενος ἑλεῖν Ἀθήνας, εὔχεται Διὶ παρ' Ἀθηναίων λαβεῖν δίκας. γενομένου δὲ τῇ πόλει λιμοῦ τε καὶ λοιμοῦ, τὸ μὲν πρῶτον, κατὰ λόγιον Ἀθηναῖοι παλαιὸν τὰς Ὑακίνθου κόρας, Ἀνθηΐδα, Αἰγληΐδα, [Ἠνθηνίδα] Αὐταίαν, Ὀρθαίαν, ἐπὶ τὸν Γεραίστου τοῦ Κύκλωπος τάφον κατέσφαξαν. τούτων δὲ ὁ πατὴρ Ὑάκινθος ἐλθὼν ἐκ Λακεδαίμονος Ἀθήνας κατῴκει. ὡς δὲ οὐδὲν ὄφελος ἦν τοῦτο, ἐχρῶντο περὶ ἀπαλλαγῆς. ὁ δὲ θεὸς ἀνεῖπεν αὐτοῖς, Μίνωϊ διδόναι δίκας ἃς ἂν αὐτὸς αἱρεῖται. πέμψαν-

III, 14, 8. ex responso Apollinis ab Atheniensibus poenas, quas velit, exigendi potestatem accipit.

τες τὴν ἀρὸς Μίνωα, ἐπέτρεπον αἰτεῖν δίκας. Μίνως δὲ ἐκέλευσεν αὐτοῖς [ιό] κούρους ἑπτὰ, καὶ κόρας τὰς ἴσας, χωρὶς ὅπλων πέμπειν τῷ Μινωταύρῳ βορόν.

Ἦν δὲ οὗτος ἐν Λαβυρίνθῳ καθειρημένος, ἐν ᾧ τὸν εἰσελθόντα ἀδύνατον ἦν ἐξιέναι πολυπλόκοις γὰρ καμπαῖς τὴν ἀγνοουμένην ἔξοδον ἀπέκλεις. κατεσκευάτει δὲ αὐτὸν Δαίδαλος, ὁ Εὐπαλάμου παῖς τοῦ Μητίωνος καὶ Ἀλκίπτης. οὗτος ἦν ἀρχιτέκτων ἄριστος, καὶ
9 πρῶτος ἀναλυάτων εὑρετής. οὗτος ἐξ Ἀθηνῶν ἔφυγεν, ἀπὸ τῆς ἀκροπόλεως βαλὼν τὸν τῆς ἀδελφῆς Πέρδικος υἱὸν Τάλω, μαθητὴν ὄντα, δείσας μὴ διὰ τὴν εὐφυΐαν αὐτὸν ὑπερβάλῃ· τιαγόνα γὰρ ὄφεως εὑρὼν, ξύλον λεπτὸν ἔκρισε. Φωραθέντες δὲ τοῦ νεκροῦ, κριθεὶς ἐν Ἀρείῳ πά-

III, 15, 8. Missi ad Minotaurum pueri puellaeque inclusum Labyrintho, quem Daedalus fecerat Athenis profugus.

πάγῳ, καταδικασθεὶς, πρὸς Μίνωα ἔφυγε. κἀκεῖ, Πασιφάης ἐρασθείσης τοῦ Ποσειδῶνος ταύρου, συνήργησε τεχνησάμενος ξυλίνην βοῦν· καὶ τὸν Λαβύρινθον κατεσκεύασεν, εἰς ὃν κατὰ ἔτος Ἀθηναῖοι κούρους ἑπτὰ καὶ κόρας τὰς ἴσας, τῷ Μινωταύρῳ βορὰν, ἔπεμπον.

Θησεὺς δὲ, γεννηθεὶς ἐξ Cap. XVI, Αἴθρας Αἰγεῖ παῖς, ὡς ἐγενήθη τέλειος, 1 ἀπωσάμενος τὴν πέτραν, τὰ πέδιλα καὶ τὴν μάχαιραν ἀναιρεῖται· καὶ πεζὸς ἠπείγετο εἰς τὰς Ἀθήνας. Φρηνρουμένης δὲ ὑπὸ ἀνδρῶν κακούργων τῆς ὁδοῦ, ἡμέρωσε. πρῶτον μὲν οὖν Περιφήτην τὸν Ἡφαίστου καὶ Ἀντικλείας, ὃς ἀπὸ τῆς κορύνης, ἣν ἐφόρει, Κορυνήτης ἐπεκαλεῖτο, ἔκτεινεν ἐν Ἐπιδαύρῳ. πόδας δὲ ἀσθενεῖς ἔχων οὗτος ἐφόρει κορύνην σιδηρᾶν, δι' ἧς τοὺς παριόντας ἔκτεινε. ταύτην ἀφελόμενος Θησεὺς ἐφόρει.

Δεύ-

III, 16, 1. Theseus iter Athenas faciens Peripheten

2 Δεύτερον δὲ κτείνει Σίνιν τὸν Πολυπήμονος καὶ Συλέως τῆς Κορινθίου. οὗτος Πιτυοκάμπτης ἐπεκαλεῖτο. οἰκῶν γὰρ τὸν Κορινθίων ἰσθμὸν, ἠνάγκαζε τοὺς παριόντας πίτυς κάμπτοντας ἀνέχεσθαι· οἱ δὲ, διὰ τὴν ἀσθένειαν οὐκ ἠδύναντο [κάμπτειν,] καὶ ὑπὸ τῶν δένδρων ἁναβληθέντες ταχέως διεφθείροντο. τούτῳ τῷ τρόπῳ Θησεὺς Σίνιν ἀπέκτεινεν. * * *

III, 16, 2. et Sinin interimit.

MAY 4 1915